Αριθ. εισ. 132.387

ΕΚΔΟΣΙΣ ΓΡΑΜΜΑΤΙΚΩΝ ΑΡΧΑΙΩΝ

# ΦΡΥΝΙΧΟΥ

## *ΕΚΛΟΓΑΙ ΡΗΜΑΤΩΝ ΚΑΙ ΟΝΟΜΑΤΩΝ ΑΤΤΙΚΩΝ*

## *ΚΑΙ ΑΠΟΣΠΑΣΜΑΤΑ*

## ΗΡΩΔΙΑΝΟΥ

*ΕΚ ΤΗΣ*

*ΕΚΔΟΣΕΩΣ*

**LOBECK**

ΥΠΟ

Α. Π.

*ΤΕΥΧΟΣ Α΄.*

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

*ΕΝ ΑΘΗΝΑΙΣ*

*ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΟΥ [illegible]*

**1883.**

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΡΟΛΟΓΟΣ

Ἐπειδὴ οἱ ἀρχαῖοι γραμματικοὶ οὐ μόνον σπάνιοι, ἀλλὰ καὶ ἄγνωστοι εἰς πολλοὺς εἶνε, διὰ τοῦτο ἐκρίναμεν καλὸν καὶ ὠφέλιμον νὰ ἐκδόσωμεν αὐτοὺς χάριν γενικῆς διαδόσεως.

Ποιούμεθα ἀρχὴν ἐκ τοῦ Φρυνίχου τοῦ γραμματικοῦ, ὁ ὁποῖος κατὰ τὸν Σουΐδα ὢν ἐκ τῆς Βιθυνίας ἦτο σοφιστὴς καὶ Ἀττικιστὴς συγγράψας βιβλία β', περὶ τῶν Ἀττικῶν ὀνομάτων, συναγωγήν, σοφιστικῆς παρασκευῆς βιβλία μζ', ἢ κατ' ἄλλους οδ',· ἤκμασε δὲ περὶ τὰ τέλη τῆς β', μ. Χ. ἑκατ.

Χάριν δὲ τῆς γενικῆς διαδόσεως ἀπεφασίσαμεν νὰ ἐκδόσωμεν μόνον τὰ παραγγέλματα τῶν ἀρχαίων γραμματικῶν, παραλείποντες τὰς πολυπληθεῖς καὶ μέχρι κόρου ἀγούσας τὸν ἀναγνώστην σημειώσεις τοῦ μὲν καὶ τοῦ δὲ νεωτέρου γραμματικοῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΦΡΥΝΙΧΟΥ ΕΚΛΟΓΗ

## ΡΗΜΑΤΩΝ ΚΑΙ ΟΝΟΜΑΤΩΝ ΑΤΤΙΚΩΝ.

---

Φρύνιχος Κορνηλιανῷ εὖ πράττειν. Τήν τε ἄλλην σου παιδείαν θαυμάζων, ἣν διαφερόντως ὑπὲρ ἅπαντας, ὅσοις ἐγὼ ἐνέτυχον, πεπαίδευσαι, καὶ δὴ καὶ τοῦτο θαυμάσας ἔχω, τὸ περὶ τὴν τῶν καλῶν καὶ δοκίμων ὀνομάτων κρίσιν. Ταῦτ' ἄρα κελεύσαντος σοῦ τὰς ἀδοκίμους τῶν φωνῶν ἀθροισθῆναι, πάσας μὲν οὐχ οἷός τε ἐγενόμην τανῦν περιλαβεῖν· τὰς δ' ἐπιπολαζούσας μάλιστα καὶ τὴν ἀρχαίαν διάλεξιν ταραττούσας καὶ πολλὴν αἰσχύνην ἐμβαλλούσας. Οὐ λανθάνει δὲ σέ, ὥσπερ οὐδ' ἄλλο τι τῶν κατὰ παιδείαν, ὥς τινες ἀποπλανηθέντες τῆς ἀρχαίας φωνῆς, καὶ ἐπὶ τὴν ἀμαθίαν καταφεύγοντες, πορίζουσι μάρτυράς τινας τοῦ προειρῆσθαι ὑπὸ τῶν ἀρχαίων τάςδε τὰς φωνάς· ἡμεῖς δὲ οὐ πρὸς τὰ διημαρτημένα ἀφορῶμεν, ἀλλὰ πρὸς τὰ δοκιμώτερα τῶν ἀρχαίων. Καὶ γὰρ αὐτοῖς εἴτις αἵρεσιν προθείη, ποτέρως ἂν ἐθέλοιεν διαλέγεσθαι ἀρχαίως καὶ ἀκριβῶς ἢ νεοχμῶς καὶ ἀμελῶς, δέξαιντ' ἂν ἀντὶ παντὸς ἡμῖν σύμψηφοι γενόμενοι τῆς ἀμείνονος γενέσθαι μοίρας. Οὐ γάρ τις οὕτως ἄθλιος, ὡς τὸ αἰσχρὸν τοῦ καλοῦ προτιθέναι. Ἔρρωσο.

---

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὅστις ἀρχαίως καὶ δοκίμως ἐθέλει διαλέγεσθαι, τάδ' αὐτῷ φυλακτέα.

Ἑκοντήν οὐ χρὴ λέγειν, ἀλλ' ἐθελοντήν.

Ὄπιθεν ἄνευ τοῦ σ μηδέποτε εἴπῃς, ὄπισθεν δέ.

Ἱκεσία καὶ τοῦτο ἀδόκιμον, ἱκετεία δέ.

Ὑπόδειγμα· οὐδὲ τοῦτο ὀρθῶς λέγεται· παράδειγμα λέγε.

Ὠνάμην, ὤνασο, ὤνατο πάντα ἀδόκιμα, ὅταν διὰ τοῦ α. τὰ γὰρ ἀρχαῖα διὰ τοῦ η, ὠνήμην, ὤνησο, ὤνητο.

Μέχρις καὶ ἄχρις σὺν τὸ σ, ἀδόκιμα· μέχρι δὲ καὶ ἄχρι λέγε.

Ἐπίναι, κατίναι, προσίναι, ἐξίναι, πάντα ἀδόκιμα ἄνευ τοῦ ε λεγόμενα. Χρὴ γὰρ σὺν τῷ ε, ἀπιέναι καὶ ἐξιέναι λέγειν καὶ τὰ λοιπὰ ὁμοίως.

Εἰσιέτω· καὶ περὶ τούτου οὕτως ἔσχε. Λολλιανὸς ἀκούσας, ὅτι χρὴ σὺν τῷ ε εἰσιέναι λέγειν, εἶτα ὑπέλαβε καὶ τὸ εἰσίτω εἰσιέτω δεῖν λέγεσθαι.

Ἐμπτύει μου μηδαμῶς λέγε, ἀλλὰ καταπτύει μου, καὶ κατέπτυσα αὐτοῦ λέγε.

Εὐκοίτει· καὶ τοῦτο ἀποτρέπου.

Εὐχαριστεῖν· οὐδεὶς τῶν δοκίμων εἶπεν, ἀλλὰ χάριν εἰδέναι.

Ἄρτι ἥξω μηδέποτε εἴπῃς ἐπὶ μέλλοντος, ἀλλ' ἐπὶ τοῦ ἐνεστῶτος καὶ παρῳχημένου ἄρτι ἥκω καὶ ἄρτι ἀφικόμην.

Τέμαχος κρέως ἢ πλακοῦντος ἢ ἄρτου, οὐκ ὀρθῶς

ἐρεῖ τις· ἀλλὰ τόμος κρέως ἢ πλακοῦντος· τὸ δὲ τέμαχος μόνον ἐπὶ ἰχθύος λέγεται.

Ἄμυναν μὴ εἴπῃς, ἀλλ' εἰς ρῆμα μεταβάλλων ἀμύνασθαι· πάντα γὰρ τὰ τοῦ ρήματος δόκιμα, ἀμυνοῦμαι, ἀμύνασθαι, ἠμυνάμην, ἀμυνοῦμεν, ἀμύνομαι. τὸ δὲ ὄνομα ἀδόκιμον.

Ἀποτάσσομαί σοι· ἔκφυλον πάνυ. χρὴ γὰρ λέγειν ἀσπάζομαί σε. οὕτω γὰρ καὶ οἱ ἀρχαῖοι εὑρίσκονται λέγοντες, ἐπειδὰν ἀπαλλάττωνται ἀλλήλων.

Σημᾶναι, ἐσήμαναν, καὶ θερμᾶναι, ἐθέρμαναν, καὶ καθᾶραι, ἐκάθαραν· καὶ ταῦτα παρὰ τὴν ἀρχαίαν χρῆσιν διὰ τοῦ α. Λέγομεν δὲ διὰ τοῦ η σημῆναι, θερμῆναι, καθῆραι.

Ἐφλέγμανε, φλεγμᾶναι διὰ τοῦ η καὶ ταῦτα λέγεται.

Διωρία· ἐσχάτως ἀδόκιμον· ἀντ' αὐτοῦ δὲ προθεσμία ἐρεῖς.

Ἀνεῖναι ἐλαίῳ ἢ ὄξει ἢ ἄλλῳ τινί, λέγουσιν οἱ ἰατροί, πάνυ ἀμαθῶς· δεῖ γὰρ διεῖναι λέγειν.

Περιέσσευσεν· ἀλλοκοτέρως. ἐχρῆν γὰρ ἐπερίσσευσε λέγειν.

Σπῖλος· καὶ τοῦτο φυλάττου, λέγε δὲ κηλίς.

Ἀνειλεῖν βιβλίον δι' ἑνὸς λ, κάκιστον· ἀλλὰ διὰ τῶν δύο, ἀνείλλειν.

Πιοῦμαι σὺν τῷ υ λέγων, οὐκ ὀρθῶς ἐρεῖς. πίομαι γάρ ἐστι τὸ ἀρχαῖον, καὶ πιόμενος, ἄνευ τοῦ υ. Δίων δὲ ὁ φιλόσοφος σὺν τῷ υ λέγων ἁμαρτάνει.

Ἤλειπται καὶ κατώρυκται οὐ χρή, ἀλλὰ διπλα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σίαζε τὴν φωνὴν ὥσπερ οἱ Ἀθηναῖοι ἀλήλειπται καὶ κατορώρυκται.

Ὤμοκε τελέως ἄηθες. χρὴ γὰρ ὀμώμοκε λέγειν.

Ἀπελεύσομαι· παντάπασι φυλάττου· οὔτε γὰρ οἱ δόκιμοι ρήτορες, οὔτε ἡ ἀρχαία κωμῳδία, οὔτε Πλάτων κέχρηται τῇ φωνῇ. ἀντὶ δὲ αὐτοῦ τὸ ἄπειμι χρῶ καὶ τοῖς ὁμοιοειδέσιν ὡσαύτως.

Ἐπεξελευσόμενος ἄλλος οὗτος ἦν Ἡρακλῆς · τοῦτο οὖν ἔσυρεν ἐκ τριόδου Φαβωρῖνος· χρὴ γὰρ ἐπεξιὼν εἰπεῖν· καὶ γὰρ ἐπέξειμι λέγεται, ἀλλ' οὐκ ἐπεξελεύσομαι.

Ἀλκαϊκὸν ᾆσμα, δι' ἑνὸς ι οὐ χρὴ λέγειν, ἀλλ' ἐν τοῖν δυοῖν Ἀλκαιικόν, τροχαιικὸν καὶ ἀρχαιικόν.

Νηρὸν ὕδωρ μὴ εἴπῃς, ἀλλὰ πρόσφατον, ἀκραιφνές.

Ποῖ ἄπει· συντάσσεται διὰ τοῦ ι· ποῦ δε ἄπει, διὰ τοῦ υ, ἁμάρτημα. Εἰ δὲ ἐν τῷ υ, ποῦ διατρίβεις.

Ἔκτοτε κατὰ μηδένα τρόπον εἴπῃς, ἀλλ' ἐξ ἐκείνου.

Ἀπόπαλαι, ἔκπαλαι, ἀμφοῖν δυσχέραινε. ἐκ παλαιοῦ γὰρ χρὴ λέγειν.

Πηνίκα μὴ εἴπῃς ἀντὶ τοῦ πότε· ἔστι γὰρ ὥρας δηλωτικόν· οἷον εἰπόντος τινὸς πηνίκα ἀποδημήσεις ; ἐὰν εἴπῃς μετὰ δύο ἢ τρεῖς ἡμέρας, οὐκ ὀρθῶς ἐρεῖς. Ἐὰν δὲ εἴπῃς ἕωθεν ἢ περὶ μεσημβρίαν, ὀρθῶς ἐρεῖς.

Ὀρθρινὸς οὐκ, ἀλλ' ὄρθριος.

Ὀψινός, ὁμοίως τῷ ὀρθρινὸς τοῦτο ἁμάρτημα· χρὴ οὖν ἄνευ τοῦ ν λέγειν, ὄψιος, ὡς ὄρθριος.

Μεσονύκτιον· ποιητικόν, οὐ πολιτικόν.

Ἡ ὄμφαξ, ἡ βῶλος, θηλυκῶς δέον, οὐκ ἀρσενικῶς.

Ἡ πηλὸς Συρακούσιοι λέγουσιν ἁμαρτάνοντες.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ποταπὸς διὰ τοῦ τ μὴ εἴπῃς, ἀδόκιμον γάρ. διὰ δὲ τοῦ δ λέγων ἐπὶ γένους θήσεις, ποδαπός ἐστι; Θηβαῖος ἢ Ἀθηναῖος. Ἔστι γὰρ οἷον ἐκ τίνος δαπέδου. Τὸ ποταπὸς δέ, ἔστι ποταπὸς τὸν τρόπον Φρύνιχος; Φρόνιμος, ἐπιεικής. Χρὴ οὖν οὕτως ἐρωτᾷν, ποῖός τίς σοι δοκεῖ εἶναι;

Φανός· ἐπὶ τῆς λαμπάδος, ἀλλὰ μὴ ἐπὶ τοῦ κερατίνου λέγε. τοῦτο δὲ λυχνοῦχον.

Ἐν χρῷ κουρίας φάθι καὶ μὴ ψιλόκουρος.

Πεινῆν, διψῆν λέγε, ἀλλὰ μὴ διὰ τοῦ α.

Ἡ χάραξ ἐρεῖς θηλυκῶς τὸ τῆς ἀμπέλου στήριγμα, οὐ κατὰ τὸ ἀρρενικόν.

Σκίμπους λέγε, ἀλλὰ μὴ κράββατος.

Ἐρεύγεσθαι ὁ ποιητής· ὁ δ' ἐρεύγετο οἰνοβαρείων· ἀλλ' ὁ πολιτικὸς ἐρυγγάνειν λεγέτω.

Ὁ φάρυγξ ἀρσενικῶς μὲν Ἐπίχαρμος λέγει, ὁ δὲ Ἀττικὸς ἡ φάρυγξ.

Αὐθαδίζεσθαι λέγε, μὴ ἀναιδεύεσθαι.

Υἱέως οἱ ψευδαττικοί φασιν, οἰόμενοι ὅμοιον εἶναι τῷ Θησέως καὶ τῷ Πηλέως.

Υἱέα· ἐν ἐπιστολῇ ποτὲ Ἀλεξάνδρου τοῦ σοφιστοῦ εὗρον τοὔνομα τοῦτο γεγραμμένον καὶ σφόδρα ἐμεμψάμην· οὐ γάρ, ἐπεὶ υἱέος καὶ υἱεῖ ἐστίν, εὐθὺς καὶ τὸν υἱέα εὕροι τις ἄν· ἀλλὰ τὴν αἰτιατικὴν υἱὸν λέγουσιν οἱ ἀρχαῖοι. Τοῦτο δὲ καὶ Φιλόξενος ἐν τοῖς περὶ τῆς Ἰλιάδος συγγράμμασι δαψιλέστατα ἀπέφηνεν, ἀδόκιμον μὲν εἶναι τὸν υἱέα, δόκιμον δὲ τὸν υἱόν.

Τελευταιότατον λέγειν ἁμάρτημα τῶν περὶ παιδείαν δοκούντων τευτάζειν. ἐπεὶ γὰρ ἀρχαιό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τατον εὖρον λεγόμενον παρὰ τοῖς ἀρχαίοις, ᾠήθησαν καὶ τοῦτο δεῖν λέγειν. ἀλλὰ σὺ τελευταῖον λέγε.

Κορυφαιότατος· ἐνεκαλυψάμην εὑρὼν παρὰ Φαβωρίνῳ. Λέγε οὖν κορυφαῖον.

Βεβίασται ἡ κόρη λεκτέον, ἀλλ' οὐχ, ὥς τινες τῶν ῥητόρων, ἔφθαρται.

Ἡ ὕσπληξ λέγεται, οὐχ ὁ ὕσπληξ.

Ἰλὺς οἴνου οὐκ ὀρθῶς λέγεται· ποταμοῦ μὲν γὰρ ἰλύς, οἴνου δὲ τρύξ ἢ ὑποστάθμη.

Κόριον ἢ κορίδιον ἢ κορίσκη λέγουσι, τὸ δὲ κοράσιον παράλογον.

Ἡ ῥάξ ἐρεῖς· ὁ γὰρ ῥώξ δύο ἔχει ἁμαρτήματα.

Τάχιον οἱ Ἕλληνες οὐ λέγουσι, θᾶττον δέ· μᾶλλον μὲν οὖν Ἕλληνες τὸ τάχιον, θᾶττον δὲ οἱ Ἀττικοί.

Κωλύφιον μὴ λέγε, κωλῆνα δέ.

Κακοδαιμονεῖν· οὕτως οἱ νόθως ἀττικίζοντες. Ἀθηναῖοι γὰρ διὰ τοῦ α, κακοδαιμονᾶν λέγουσιν. Καὶ θαυμάσαι δ' ἄν τις, πῶς εὐδαιμονεῖν μὲν λέγουσιν, οὐκέτι δὲ κακοδαιμονεῖν, ἀλλὰ κακοδαιμονᾶν· καὶ πῶς εὐδαιμονοῦσι μὲν λέγουσιν, οὐκέτι δὲ κακοδαιμονοῦσιν, ἀλλὰ κακοδαιμονῶσι.

Κόρημα χρὴ λέγειν, ἀλλ' οὐ σάρον, καὶ κορεῖν καὶ παρακορεῖν, οὐχὶ σαροῦν.

Σάρωσον ἐπειδὰν ἀκούσῃς τινὸς λέγοντος, κέλευσον παρακόρησον λέγειν, ὅτι οὐδὲ σάρον λέγουσιν, ἀλλὰ κόρημα καὶ κάλλυντρον.

Ἀφῆλιξ λέγοντες ἁμαρτάνουσιν οἱ ῥητορικοὶ τοῦ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναντίον γάρ ἢ δεῖ χρῶνται· τὸν μὲν γάρ πρεσβύτερον ρητέον ἀφήλικα, οἱ δ' ἐπὶ τοῦ μηδέπω τῆς ἐννόμου ἡλικίας χρῶνται.

Ἐπιτροπιάζειν· ἔτι καὶ τοῦτο διέφθαρται, καίτοι λεγόντων τῶν ἀρχαίων φανερῶς ὑποτροπιάζειν.

Προκόπτειν λέγουσι· τὸ δὲ ὄνομα προκοπὴ οὐκ ἔστι παρ' αὐτοῖς.

Βιβλιαγράφος· οὕτω λέγουσιν πέντε συλλαβαῖς καὶ διὰ τοῦ α οὐχὶ τετρασυλλάβως διὰ τοῦ ο.

Βασκάνιον λέγουσιν οἱ ἀρχαῖοι, οὐ προβασκάνιον μετὰ τῆς πρό ἀδόκιμον γάρ.

Βοΐδιον και βοΐδιον ἀρχαῖα καὶ δόκιμα, οὐχὶ βούδιον, καὶ βούδιον, διὰ τοῦ υ.

Ροΐδιον διαιροῦντες λέγουσιν οἱ ἀμαθεῖς. ἡμεῖς δὲ ροίδιον.

Ὀσμὴ χρὴ λέγειν διὰ τοῦ σ. διὰ γάρ τοῦ δ, ὀδμή, Ἰώνων· παρανομεῖ γοῦν Ξενοφῶν εἰς τὴν πάτριον διάλεκτον, ὀδμὴ λέγων.

Βελόνη καὶ βελονοπώλης ἀρχαῖα. ἡ δὲ ραφὶς τί ἐστιν, οὐκ ἄν τις γνοίη.

Ἀκεστὴς λέγουσιν οἱ παλαιοί, οὐκ ἠπητής. Ἔστι μὲν ἠπήσασθαι ἅπαξ παρ' Ἀριστοφάνει ἐν Δαιταλεῦσι, παίζοντι τὰς Ἡσιόδου ὑποθήκας καὶ κόσκινον ἠπήσασθαι· σὺ δὲ λέγε ἀκέσασθαι τὸ ἱμάτιον.

Ἀγαθός μᾶλλον λέγε, μὴ ἀγαθώτερος, καὶ ἀντὶ τοῦ ἀγαθώτατος, ἀγαθὸς μάλιστα.

Ἀρχῆθεν ποιηταὶ λέγουσι, τῶν δὲ καταλογάδην δοκίμων οὐδείς, ἀλλ' ἐξ ἀρχῆς.

Γαστρίζειν ἐπὶ τοῦ ἐμπίπλασθαι λέγουσιν Ἀθηναῖ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οι, οὐκ ἐπὶ τοῦ τὴν γαστέρα τύπτειν. μήποτε δὲ καὶ ὡς οἱ πολλοὶ λέγουσιν, χρῶνται οἱ ἀρχαῖοι καὶ ἐπὶ τοῦ τὴν γαστέρα τύπτειν.

Γαργαλίζειν λέγε διὰ τοῦ ρ ἀλλὰ μὴ διὰ τῶν δύο γ γαγγαλίζειν.

Γήινον λεκτέον διὰ τοῦ η, ἀλλὰ μὴ διὰ τοῦ ε, γέϊνον.

Γλωσσόκομοι· τὸν μὲν τύπον καὶ τὴν θέσιν ὑπ' ἀρχαίων ἔχει, διεφθαρμένως δὲ λέγεται ὑπὸ τῶν πολλῶν· ἐχρῆν γὰρ γλωττοκομεῖον λέγειν, ὥσπερ ἀμέλει καὶ οἱ ἀρχαῖοι.

Βράδιον· καὶ τοῦτο Ἡσίοδος μὲν λέγει βράδιον δὲ Πανελλήνεσσι φαείνει, Πλάτων δὲ καὶ Θουκυδίδης καὶ οἱ δόκιμοι βραδύτερον.

Γρυλλίζειν διττὴν ἔχει τὴν ἁμαρτίαν, ἔν τε τῇ προφορᾷ καὶ τῷ σημαινομένῳ. ἐν μὲν τῇ προφορᾷ, διὰ τῶν δύο λλ, ἐν δὲ τῷ σημαινομένῳ, ὅτι παρὰ τοῖς ἀρχαίοις τὸ γρυλίζειν ἐστὶ τιθέμενον ἐπὶ τῆς τῶν ὑῶν φωνῆς, οἱ δὲ νῦν τάττουσιν ἐπὶ τῶν φορτικῶς καὶ ἀσχημόνως ὀρχουμένων. ἐρεῖς οὖν γρυλίζειν καὶ γρυλισμὸς συῶν, οὐ γρυλλισμός

Γογγύλη· καὶ ἐνταῦθα ἁμάρτημα. οἱ γὰρ παλαιοὶ ἐπὶ τοῦ στρογγύλου τιθέασιν, οἱ δὲ νῦν ἐπὶ τῆς ὑπὸ τῶν Ἑλλήνων γογγυλίδος καλουμένης· λέγε οὖν ἐπὶ τοῦ λαχάνου γογγυλίς, ἀλλὰ μὴ γογγύλη.

Πάντοτε μὴ λέγε, ἀλλ' ἑκάστοτε καὶ διὰ παντός.

Γενέσια· οὐκ ὀρθῶς τίθεται ἐπὶ τῆς γενεθλίου ἡμέρας. Γενέσια γὰρ Ἀθήνησιν ἑορτή. Λέγειν οὖν δεῖ, τὰς γενεθλίους ἡμέρας ἢ γενέθλια.

Ἀργὴ ἡμέρα, ἀργὴ γυνή, μὴ λέγε. ἀλλ' ἀργὸς ἡμέρα καὶ ἀργὸς γυνή, καὶ τὰ λοιπὰ ὁμοίως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πνῖγος· ἁμαρτάνουσιν οἱ βραχύνοντες τὸ ι. ἐκτείνουσι γὰρ τὸ ὄνομα καὶ τὰ ἀπ' αὐτοῦ, πνιγηρὰ καλύβη.

Ἀποκριθῆναι διττὸν ἁμάρτημα. ἔδει γὰρ λέγειν ἀποκρίνασθαι καὶ εἰδέναι, ὅτι τὸ διαχωρισθῆναι σημαίνει, ὥσπερ οὖν καὶ τὸ ἐναντίον αὐτοῦ, τὸ συγκριθῆναι, εἰς ἓν καὶ ταὐτὸν ἐλθεῖν. εἰδὼς οὖν τοῦτο ἐπὶ μὲν τοῦ ἀποδοῦναι τὴν ἐρώτησιν, ἀποκρίνεσθαι λέγε, ἐπὶ δὲ τοῦ διαχωρισθῆναι, ἀποκριθῆναι.

(Γενηθῆναι) παρὰ Ἐπιχάρμῳ καὶ ἐστὶ Δώριον· ἀλλ' ὁ Ἀττικίζων γενέσθαι λεγέτω.

Πελαργός· οἱ ἀμαθεῖς ἐκτείνουσι τὸ α, δέον συστέλλειν· πελαργὸς γὰρ οὐδὲν ἀλλ' ἢ Ἐρετριακῶς πελασγός.

Ἀσπάραγος· καὶ τοῦτο δυοῖν ἁμαρτήμασιν ἔχεται. ὅτι τε ἐν τῷ π καὶ οὐκ ἐν τῷ φ λέγεται, καὶ ὅτι ἴδιόν τι φυτόν ἐστιν ἄγριον ὁ ἀσφάραγος, καὶ οὐκ ἐν τοῖς ἡμέροις καταλεγόμενον. ὁ γοῦν Κρατῖνος ἐν ἄλλοις ἀγρίοις αὐτὸ καταλέγων φησίν·

Αὐτομάτη δὲ φέρει τιθύμαλον σφάκον,
πρὸς αὔτ' ἀσφάραγον κύτισόν τε.
ἐν ἅπασιν ἀνθέρικος ἀνηθᾷ
καὶ φλόον ἄφθονον.

ὥστε παρεῖναι πᾶσι τοῖς ἀγρίοις ἅπαντα γὰρ τὰ καταλελεγμένα ἄγρια. Οἱ δὲ νῦν τιθέασιν ἐπὶ παντὸς ἀμαθῶς. Τῶν γὰρ λαχάνων αἱ ἄκανθαι ὄρμενα καλοῦνται καὶ ἐξορμενίζειν τὸ ἐκβλαστάνειν καὶ ἐξανθεῖν. Λέγε οὖν ὄρμενα,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλλὰ μὴ ἀσπαράγους, ἀδόκιμον γὰρ λίαν
Ἀσβόλη μὴ λέγε, ἀλλὰ ἄσβολος.
Αἴθαλος λέγεται καὶ ἀρσενικῶς, ἀλλὰ μὴ α
θηλυκῶς.
Θερμότης λέγε. ἀλλὰ μὴ θερμασία.
Ἀτταγήν· καὶ τοῦτο παρανενόμηται καὶ τόνω
θέσει. χρὴ γὰρ ἀτταγᾶς λέγειν, ὥσπερ ἀλ
Κολυμβάδες ἐλαῖαι οὐ λέγονται ἀλλὰ ἁλμ
ἐλᾶαι χωρὶς τοῦ ε.
Γρηγορῶ, γρηγορεῖ, οὐ δεῖ, ἀλλ' ἐγρήγορα λέ
καὶ ἐγρήγορεν.
Αὐθέντης μηδέποτε χρήσῃ ἐπὶ τοῦ δεσπότου,
οἱ περὶ τὰ δικαστήρια ῥήτορες, ἀλλ' ἐπὶ τοῦ
τόχειρος φονέως.
Ἀγήοχεν, εἴ τις εἴποι ὅτι ἐν τῷ συνθέτῳ Λυσ
κέχρηται, καταγηόχασι, μὴ πάνυ πείθου· ἤ
μὲν γὰρ λέγουσι, καὶ Δημοσθένης ἤχασι λέγ
ἀλλ' οὐκ ἀγηόχασι.
Μεσιδιωθῆναι· τετριπται καὶ ἐν τοῖς δικαστηρί
καὶ ἐν τοῖς συμβολαίοις. ἀλλὰ σὺ μεσεγγυηθῆν
λέγε.
Καλλιγραφεῖν, διαλελυμένως λέγουσιν ἐκεῖν
εἰς κάλλος γράφειν.
Ἀκμὴν ἀντὶ τοῦ ἔτι· Ξενοφῶντα λέγουσιν ἅπα
αὐτῷ κεχρῆσθαι. σὺ δὲ φυλάττου χρῆσθαι, λέ
γε δὲ ἔτι.
Εἶτεν καὶ ἔπειτεν ἐσχάτως βάρβαρα. Εἶτα οὖν σὺ
καὶ ἔπειτα λέγε.
Ἀνατέλλει μὲν ἐρεῖς ὁ ἥλιος, ἐπιτέλλει δὲ ὁ κύων,
ἢ ὁ Ὠρίων ἢ ἄλλο τι τῶν μὴ ὡσαύτως τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡλίῳ καὶ τῇ σελήνῃ πολευόντων.

Εὐκαιρεῖν οὐ λεκτέον ἀλλ' εὖ σχολῆς ἔχειν.

Ἐξεπιπολῆς λέγουσί τινες, οἰόμενοι ὅμοιον εἶναι τῷ ἐξαίφνης. οἷον, ἐξεπιπολῆς, ἐξαίφνης. ἀτόπως· οἱ γὰρ ἀρχαῖοι ἄνευ τῆς ἐξ προθέσεως εἶπον ἐπιπολῆς.

Ἔνδον εἰσέρχομαι, βάρβαρον. ἔνδον γὰρ ἐστί, καὶ ἔνδον εἰμί, δόκιμον. Δεῖ οὖν εἴσω παρέρχομαι λέγειν. εἴσω δὲ διατρίβω, οὐκ ἐρεῖς, ἀλλ' ἔνδον διατρίβω.

Κληρονομεῖν τόνδε· οὐχ οὕτως ἡ ἀρχαία χρῆσις, ἀλλὰ κληρονομεῖν τοῦδε.

Θρίδακα Ἡρόδοτος ἰάζων εἶπεν. ἡμεῖς δὲ θριδακίνην, ὡς ἀττικοί.

Ἐπίκλιντρον ῥητέον, οὐκ ἀνάκλιντρον.

Ἐπίδοξον, τὸν προσδοκώμενον καὶ ἐλπιζόμενον ἐρεῖς, οὐχ, ὡς οἱ ἀμαθεῖς, τὸν ἐπίσημον.

Μάμμην, τὴν τοῦ πατρὸς ἢ μητρὸς μητέρα, οὐ λέγουσιν οἱ ἀρχαῖοι, ἀλλὰ τίτθην. Μάμμην μὲν οὖν καὶ μάμμιον τὴν μητέρα· ἀμαθὲς οὖν τὴν μάμμην ἐπὶ τῆς τίτθης λέγειν.

Ἔσχατον χρὴ λέγειν, οὐχὶ ἐσχατώτατον, εἰ καὶ μάρτυρα παρέχοι τις.

Εἰ ποιητὴς εἶπεν ἀμεινότερον, χαιρέτω· οὐδὲ γὰρ καλλιώτερον, οὐδὲ κρεισσότερον ῥητέον. συγκριτικοῦ γὰρ συγκρικὸν οὐ γίνεται. Λέγε οὖν ἄμεινον καὶ κάλλιον καὶ κρεῖσσον.

Μονόφθαλμον οὐ ῥητέον, ἑτερόφθαλμον δέ. Κρατῖνος γὰρ μονόμματον εἶπε τὸν Κύκλωπα.

Ἐωνησάμην· εἷς λόγος περὶ τοῦ ἁμαρτήματος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔνθα ἂν μὴ δυνηθῇς τὸ πρίασθαι ἢ ἐπριάμην θεῖναι, ἐκεῖ τὰ ἀπὸ τοῦ ἐώνημαι τάττε· ἔνθα δ' ἂν τὰ ἀπὸ τοῦ πρίασθαι, φυλάττου θάτερον. Οἷον, ἐώνημαι οἰκίαν· ἐνταῦθα ἐγχωρεῖ τὸ ἐπριάμην· οὕτω χρήσῃ, ἐπριάμην οἰκίαν. Πάλιν, ἔτυχον ἐωνημένος οἰκίαν ἢ ἀγρόν· ἐνταῦθα οὐδὲν ἐγχωρεῖ τῶν ἀπὸ τοῦ πρίασθαι· μένει τὸ ἐωνημένος δόκιμον. Πάλιν δεῖ λέγειν πριάμενος· τὸ γὰρ ὠνησάμενος ἀδόκιμον· οὕτως οὖν κἀπὶ τοῦ ἐωνησάμην. Παρὸν γὰρ ἐπριάμην εἰπεῖν, μὴ εἴπῃς ἐωνησάμην· ὁ γὰρ τοῦτο λέγων ληρεῖ.

Παρασίτους οὐκ ἔλεγον οἱ ἀρχαῖοι ἐπ' ὀνείδους, ὡς νῦν, ἀλλὰ κόλακας· καὶ δρᾶμά ἐστι Κόλακες τοιούτων ἀνθρώπων.

Εὕρασθαι οὐκ ἐρεῖς προπαροξυτόνως διὰ τοῦ α, ἀλλὰ παροξυτόνως διὰ τοῦ ε, εὑρέσθαι.

Ῥάφανον ἐπὶ τῆς ῥαφανίδος μὴ θῇς. σημαίνει γὰρ τὴν κράμβην.

Εὔνως ἔχει μοι· μὴ λέγε, ἀλλ' εὐνοϊκῶς.

Εὐθύ· πολλοὶ ἀντὶ τοῦ εὐθύς. διαφέρει δὲ τὸ μὲν γὰρ τόπου ἐστίν, εὐθὺ Ἀθηνῶν. τὸ δὲ χρόνου, καὶ λέγεται σὺν τῷ σ.

Ζωρότερον ὁ ποιητής, σὺ δὲ λέγε, εὔζωρον κέρασον καὶ εὐζωρότερον· ὡς Ἀριστοφάνης καὶ Κρατῖνος καὶ Εὔπολις.

Χειρσὶν ἀδοκίμως, χερσὶ δέ.

Εὐέριον μὴ λέγε, ἀλλὰ εὔερον ἱμάτιον τρισυλλάβως καὶ χωρὶς τοῦ ι.

Νεομηνία μὴ λέγε, Ἰώνων γάρ, ἀλλὰ νουμηνία.

Ἧς ἐν ἀγορᾷ σόλοικον· λέγε οὖν ἦσθα. ὀρθότερον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ χρῷτο ἂν ὁ λέγων, ἐὰν ᾖς ἐν ἀγορᾷ.

Ἠκηκόεσαν, ἐγεγράφεσαν, ἐπεποιήκεσαν, ἐνενοήκεσαν ἐρεῖς· ἀλλ' οὐ σὺν τῷ ι, ἠκηκόεισαν.

Ὁ ῥῦπος ἐρεῖς, οὐ τὸ ῥῦπος.

Ἀλεῖν ἐρεῖς, οὐκ ἀλήθειν, καὶ ἤλει, οὐκ ἤληθεν, ἀλοῦσα, οὐχὶ δὲ ἀλήθουσα.

Μέθυσος ἀνήρ, οὐκ ἐρεῖς, ἀλλὰ μεθυστικός· γυναῖκα δὲ ἐρεῖς μέθυσον καὶ μεθύσην.

Ἤμην, εἰ καὶ εὑρίσκεται παρὰ τοῖς ἀρχαίοις, οὐκ ἐρεῖς, ἀλλ' ἦν ἐγώ.

Ὤιδηκεν, ᾠκοδόμηκεν διὰ τοῦ ω ἄριστα ἐρεῖς, ἀλλ' οὐ διὰ τοῦ οι, οἴδηκεν, οἰκοδόμηκεν.

Ἐνίστατο λέγε καὶ μὴ ἠνίστατο.

Βρῶμος· πάνυ ἐζήτηται, εἰ χρὴ λέγειν ἐπὶ τῆς δυσωδίας. μέχρι οὖν εὑρίσκεται, ἄχαριν ὀσμὴν χρὴ λέγειν, ὥςπερ κωμῳδοποιοί.

Ἡρακλέα, Περικλέα, Θεμιστοκλέα, ἐπεκτείνων τὴν ἐσχάτην λέγε, ἀλλὰ μὴ Ἡρακλῆν καὶ Περικλῆν καὶ Θεμιστοκλῆν.

Ἀνέῳγεν ἡ θύρα σολοικισμός. χρὴ γὰρ λέγειν ἀνέῳκται.

Οἱ ἥρως οὐ λέγουσιν, ἀλλ' οἱ ἥρωες τρισυλλάβως. ἐπὶ δὲ τῆς αἰτιατικῆς, δισυλλάβως τοὺς ἥρως. ἅπαξ βιασθεὶς Ἀριστοφάνης ὑπὸ τοῦ μέτρου οἱ ἥρως εἶπε· τῷ δ' ἠναγκασμένῳ οὐ χρηστέον.

Ἱερόθυτον οὐκ ἐρεῖς, ἀλλ' ἀρχαῖον θεόθυτον.

Διεφθορὸς αἷμα τῶν ἀμαθῶν τινὲς ἰατρῶν οὕτω σολοικίζοντες· δέον λέγειν διεφθαρμένον αἷμα· τὸ γὰρ διέφθορε, διέφθειρεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀνατοιχεῖν μὴ λέγε, ἀλλὰ διατοιχεῖν.

Ἤνυστρον λέγε, μὴ ἔνυστρον.

Ἔνυστρον μὴ λέγε, ἀλλὰ ἤνυστρον, ὅτι καὶ ἀρχαῖον.

Ἑλλύχνιον· καὶ τοῦτο τῶν εἰς κωμασάντων ταῖς Ἀθήναις. Θρυαλλίδα οὖν ῥητέον.

Ἐλλύχνιον· Ἡρόδοτος κέχρηται. Ἀθηναῖοι δὲ θρυαλλίδα λέγουσιν.

Θυμέλην· τοῦτο οἱ μὲν ἀρχαῖοι ἀντὶ τοῦ θυσίαν ἐτίθουν· οἱ δὲ νῦν ἐπὶ τοῦ τόπου ἐν τῷ θεάτρῳ, ἐν ᾧ αὐληταὶ καὶ κιθαρῳδοὶ καὶ ἄλλοι τινὲς ἀγωνίζονται. σὺ μέντοι, ἔνθα μὲν κωμῳδοὶ καὶ τραγῳδοὶ ἀγωνίζονται, λογεῖον ἐρεῖς· ἔνθα δὲ οἱ αὐληταὶ καὶ οἱ χοροί, ὀρχήστραν· μὴ λέγε δὲ θυμέλην.

Θυσίαν λέγε, μὴ ἴγδην.

Ἱστῶν λέγε, μὴ ἱστεών. ἁμαρτήσεις γὰρ τῷ λέγοντι ὁμοίως καλαμεών, ἱππεών, ἀνδρεών, δέον καλαμών, ἱππών, καὶ τὰ ὅμοια.

Αὐταύλης μὴ λέγε, ἀλλὰ ψηλὸς αὐλητής, ἐπεὶ καὶ ἕτερος κύκλιος αὐλητής·

Καταπροΐξεται οὐκ ὀρθῶς διαιροῦσι, δέον καταπροίξεται.

Καταπροΐξεται οὐκ ὀρθῶς διαιροῦσι, δέον καταπροίξεται λέγειν ἀδιαιρέτως.

Αἱ νῆες ἐρεῖς, οὐχὶ αἱ ναῦς. σόλοικον γάρ. ἥμαρτε γὰρ Φαβωρῖνος, Πολέμων καὶ Σύλλας, αἱ ναῦς εἰπόντες, τὰς νῆας οὐκ ἐρεῖς, ἀλλὰ τὰς ναῦς. Λολλιανὸς δ' ὁ σοφιστὴς ἀκούσας παρά τινος, ὅτι οὐ χρὴ αἱ ναῦς λέγειν, ἀλλὰ αἱ νῆες, φή-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θη δεῖν λέγειν καὶ τὴν αἰτιατικὴν ὁμοίως τὰς νῆας. οὐκ ἔχει δὲ οὕτως· ἀλλ' ἐπὶ μὲν τῆς εὐθείας δισυλλάβως, ἐπὶ δὲ τῆς αἰτιατικῆς μονοσυλλάβως.

Κνημίδα, πινακίδα, καρίδα· βραχέως τούτων τὴν παρατέλευτον. τὴν μέντοι ραφίδα ἐκτείνουσι καὶ συστέλλουσιν.

Κλαδᾷν ἀμπέλους φαθί, ἀλλὰ μὴ κλαδεύειν.

Πολίτης λέγε, μὴ συμπολίτης.

Τύλην εἰ καὶ εὕροις που, σὺ κνέφαλον λέγε.

Τὸ ράπισμα οὐκ ἐν χρήσει· χρῶ οὖν τῷ κρείττωνι· τὸ γὰρ τὴν γνάθον πλατείᾳ τῇ χειρὶ πλῆξαι, ἐπὶ κόρρης πατάξαι 'Αθηναῖοι φασίν.

Παροψὶς τὸ ὄψον, οὐχὶ δὲ τὸ ἀγγεῖον, ὡς τινές. Τοῦτο δὲ τρυβλίον ἢ λεκάριον καλοῦσιν.

Κροῦσαι τὴν θύραν, ἴσως μὲν ποῦ παραβεβίασται ἡ χρῆσις· ἄμεινον δε τὸ κόπτην τὴν θύραν.

'Ενήλατα κλίνης ἢ σκίμποδος οὐ χρὴ λέγειν τὸν 'Αττικίζοντα, ἀλλὰ κραστήρια.

Κλίβανος οὐκ ἐρεῖς, ἀλλὰ κρίβανος διὰ τοῦ ρ· διὰ τὸ δοκεῖν τὴν πρώτην τῶν ἀνθρώπων τροφὴν εἶναι κριθάς.

Κυνίδιον λέγε. Θεόπομπος δὲ ὁ κωμικὸς ἅπαξ που κυνάριον εἶπεν.

Λιθάριον πάνυ φυλάττου· λιθίδιον δὲ λέγε.

'Εδεδίεσαν· καὶ τοῦτο τῆς Λολλιανοῦ μούσης. σὺ δὲ λέγε τετρασυλλάβως ἄνευ τοῦ ε, ἐδέδισαν.

Οὐθείς, διὰ τοῦ θ, εἰ καὶ Χρύσιππος καὶ οἱ ἀμφ' αὐτὸν οὕτω λέγουσι, σὺ δὲ ἀποτρέπου λέγειν·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἱ γὰρ ἀρχαῖοι διὰ τοῦ ϑ λέγουσιν, οὐδείς.

Ἀφείλατο ὅσοι διὰ τοῦ λα λέγουσιν, ἀσχημονοῦσι, δέον διὰ τοῦ λε λέγειν, ἀφείλετο· καὶ ἀφειλόμην δεῖ λέγειν διὰ τοῦ ο, ἀλλὰ μὴ διὰ τοῦ α.

Λάγνης διὰ τοῦ η, ἀλλὰ μὴ λάγνος φάθι.

Λαγώς, ὁ Ἀττικός. διὰ δὲ τοῦ ο λαγὸς ὁ Ἴων. τὸ λαγωὸς δὲ οὐκ ἔστιν.

Λίβανον λέγε τὸ δένδρον, τὸ δὲ θυμιώμενον λιβανωτόν· εἰ καὶ διὰ τὴν ποιητικὴν λίβανον καὶ τοῦτο Σοφοκλῆς λέγει. Ἄμεινον δὲ Μένανδρος ἐν τῇ Σαμίᾳ φησί· Φέρε τὴν λιβανωτόν· σὺ δ' ἐπίθες τὸ πῦρ Τρύφη.

Τὴν λιμὸν Δωριεῖς, σὺ δὴ ἀρσενικῶς τὸν λιμὸν φάθι.

Ἐλουόμην, ἐλούου, ἐλούετο, λούομαι, λούεται, ἐλουόμεθα, ἐλούοντο, λούεσθαι· πάντα οὕτω λεγόμενα, ἀδόκιμα. Εἰ δὲ δόκιμα βούλει αὐτὰ ποιῆσαι, τὸ ε καὶ τὸ ο ἀφαίρει καὶ λέγε λοῦσθαι καὶ λοῦμαι, λοῦται, ἐλούμην, ἐλοῦτο, ἐλούμεθα, ἐλοῦντο. οὕτω γὰρ οἱ ἀρχαῖοι λέγουσιν.

Δυςωπεῖσθαι. Πλουτάρχῳ μέν ἐστι περὶ δυςωπίας βιβλίον, τοῦτο ὅπερ οἴεται δηλοῦν, τὸ ἐντρέπεσθαι καὶ μὴ ἀντέχειν δι' αἰδῶ. Ἀλλὰ σημαίνει ἡ δυςωπία παρὰ τοῖς ἀρχαίοις τὴν ὑφόρασιν καὶ τὸ ὑποπτεύειν.

Σαλπικτής· τὸ δόκιμον διὰ τοῦ κ, οὐχὶ δὲ διὰ τοῦ σ, καὶ τὸ σαλπίσαι διὰ τοῦ σ παραιτοῦ, ἀδόκιμον γάρ. διὰ τοῦ ξ δὲ λέγε.

Ἀφιερῶσαι· καὶ τοῦτο Φαβωρῖνος. σὺ δὲ καθιερῶσαι λέγε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κολλάβους τοὺς ἐν τῇ λύρᾳ ἡ μὲν ἄλλη διάλεκτος λέγει· οὐ φροντὶς Ἱπποκλείδῃ φασί· σὺ δὲ ὡς Ἀθηναῖος λέγε κόλλοπας.

Νίμμα ὁ πολὺς λέγει, ἡμεῖς ἀπόνιπτρον λέγομεν, ὡς Ἀριστοφάνης καὶ οἱ ἀμφ' αὐτόν.

Νὴ τὼ θεώ· ὅρκος γυναικός, οὐ μὴν ἀνὴρ τοῦτ' ὀμεῖται, εἰ μὴ γυναικίζοιτο.

Μεσοδάκτυλα· ἠναυτίασα τοῦτο ἀκούσας τοὔνομα. ἐγὼ μὲν οὖν, τὰ μέσα τῶν δακτύλων.

Διάσταυρος μὲν οἱ νῦν χρῶνται ἐπὶ τοῦ πονηροῦ καὶ ἀξίου σταυροῦ· οἱ δὲ ἀρχαῖοι ἐπὶ τοῦ καταπύγωνος.

Μάλη οὐκ ἐρεῖς, ὑπὸ μάλην μέντοι.

Μεγιστᾶνες· Ἀντίοχος ὁ σοφιστὴς βιβλίον τι ὑπέγραφεν Ἀ γ ο ρ ὰ ν ἐπιγραφόμενον· ἔνθα τοὔνομα ἔθηκεν, ἴσως Μενάνδρῳ ἀκολουθήσας· οὐ γὰρ δή τινι τῶν ἀρχαίων· ἡμεῖς δὲ οὐ μεγιστᾶνες, ἑπόμενοι τοῖς ἀρχαίοις ἀνδράσιν, ἀλλὰ μέγα δυναμένους λέγομεν.

Λόγιος ὡς οἱ πολλοὶ λέγουσιν ἐπὶ τοῦ δεινοῦ εἰπεῖν καὶ ὑψηλοῦ οὐ τιθέασιν οἱ ἀρχαῖοι, ἀλλ' ἐπὶ τοῦ τὰ ἐν ἑκάστῳ ἔθνει ἐπιχώρια ἐξηγουμένου ἐμπείρως.

Ἐξιδιάζονται· καὶ τοῦτο Φαβωρῖνος λέγει κακῶς. ἰδιοῦσθαι γὰρ τὸ τοιοῦτον λέγουσιν οἱ ἀρχαῖοι.

Μύκας μὴ λέγε, ἀλλὰ μύκητας.

Αὐτότροφος μὴ λέγε, ἀλλ' οἰκόσιτος, ὡς Ἀθηναῖος· μηδὲ οἰκογενῆ, ἀλλ' οἰκότριβα· μήποτε δὲ καὶ τῷ οἰκόγενὴς ὡς δοκίμῳ χρηστέον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸ ὁλοσφύρατον ἔκβαλε καὶ ἤτοι σφυρήλατον λέγε ἢ ὁλόσφυρον.

Ὀπωροπώλης· τοῦθ' οἱ ἀγοραῖοι λέγουσιν, οἱ δὲ πεπαιδευμένοι ὀπωρώνης, ὡς καὶ Δημοσθένης.

Νοσσός, νοσσίον· ἀμφοῖν λείπει τὸ ε. διὰ τοῦτο ἀδόκιμα. Λέγε οὖν νεοττός, νεοττίον, ἵνα ἀρχαῖος φαίνῃ. νοσσάριον ἐκβλητέον τελέως.

Χρύσεα, ἀργύρεα, χάλκεα, κυάνεα, ταῦτα Ἰακὰ διαιρούμενα. Χρὴ οὖν λέγειν χρυσᾶ, ἀργυρᾶ, κυανᾶ τὸν ἀττικίζοντα. τὸ γὰρ χρύσεος Ἰακόν. ὁμοίως δὲ καὶ ἀργυροῦς, ἀλλὰ μὴ ἀργύρεος καὶ χρυσοῦς καὶ χαλκοῦς καὶ κυανοῦς καὶ τὰ ὅμοια.

Ἐκτρῶσαι καὶ ἔκτρωμα ταῦτα φεῦγε, λέγε δὲ ἐξαμβλῶσαι καὶ ἄμβλωμα καὶ ἀμβλίσκει.

Ἐξέτρωσεν ἡ γυνὴ μὴ λέγε· ἐξήμβλωσε δέ. ἔκτρωμα· μηδὲ τοῦτο λέγε. ἐξάμβλωμα δὲ καὶ ἀμβλωθρίδιον.

Δυσὶ μὴ λέγε, ἀλλὰ δυοῖν· δυεῖν δ' ἔστι μὲν δόκιμον, τῷ δὲ ἀλλοκότως αὐτῷ χρῆσθαί τινας, ἐπιταράττεται· ἐπὶ γὰρ μόνης γενικῆς τίθεται, οὐχὶ δὲ δοτικῆς.

Ὤτοις μὴ λέγε, ὥς τινες τῶν γραμματικῶν, ἀλλ' ὠσί.

Μείρακες καὶ μεῖραξ· ἡ μὲν κωμῳδία παίζει τὰ τοιαῦτα· τὸ γὰρ μεῖραξ καὶ μείρακες ἐπὶ θηλειῶν τάττουσιν, τὸ δὲ μειρακίσκος καὶ μειράκειον καὶ μειρακύλλιον ἐπὶ ἀνδρῶν.

Ἀναθέσθαι· καλῶς ἰδιώτης ἀναβάλλομαι φησίν. Οἱ γαρ ἐπὶ τούτου τάττοντες τὸ ἀναθέσθαι ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μαρτάνουσι. λέγουσι γὰρ ἀνατίθεμαι εἰσαῦθις τὸ πρᾶγμα· ἀγνοοῦντες, ὡς τὸ ἀνατιθέναι δύο σημαίνει· ἓν μὲν τὸ μεταγινώσκειν ἐφ' οἷς εἴρηκε, καὶ ἄρρητα ποιεῖν, ἕτερον δ' ἀνατιθέναι τὸ φορτίον.

Σταθερὸς ἄνθρωπος· οὕτως οὐ χρῶνται οἱ ἀρχαῖοι, ἀλλὰ σταθερὰ μὲν μεσημβρία λέγουσι καὶ σταθερὰ γαλήνη σταθερὸς δὲ ἄνθρωπος οὐδαμῶς, ἀλλ' ἐμβριθής. οὐ καλῶς οὖν Φαβωρῖνος σταθερὸς ἄνθρωπος εἶπεν.

Ἀναπεσεῖν οὐ καλῶς ἐπὶ τοῦ ἀνακλιθῆναι τάττεται. ἐὰν δ' ἐπὶ τοῦ τὴν ψυχὴν ἀθυμῆσαι, καλῶς· οἷον ἀνέπεσεν ἄνθρωπος, ἀντὶ τοῦ τὴν ψυχὴν ἠθύμησεν.

Ἀνάκειται· καὶ τοῦτο ἄλλο μὲν παρ' αὐτοῖς σημαίνει· ἀντ' ἄλλου δὲ ὑπὸ τῶν πολλῶν τίθεται. Ἀνάκειται μὲν γὰρ ἀνδριὰς καὶ ἀναθήματα, καλῶς ἐρεῖς· ἀνάκειται δὲ ἐπὶ τῆς κλίνης οὐκέτι, ἀλλὰ κεῖται.

Ἀντιβαλεῖν· καὶ τοῦθ' ἕτερόν τι σημαίνει καὶ ἕτερον ὑπὸ τῶν πολλῶν λέγεται. σημαίνει γὰρ τοιοῦτόν τι, ὁποῖον τὸ ἀνατιθέναι· λέγεται δὲ νῦν ἀντὶ τοῦ ἀνταναγνῶναι.

Σκορπίζεται· Ἑκαταῖος μὲν τοῦτο λέγει Ἴων ὤν· οἱ δ' Ἀττικοὶ σκεδάννυται φασί.

Κατασχάσαι· ἰατροὶ μὲν χρώμενοι ἔχουσιν ἀπολογίαν, ὡς ὄντος παρὰ τοῖς ἀρχαίοις τοῦ ἔσχων ἀντὶ τοῦ ἔσχαζον καὶ ἐκέντουν· ἀλλὰ κατανύξαι ἡμεῖς λέγομεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ρέει, ζέει, πλέει. Ἰακὰ ταῦτα διαιρούμενα· λέγε οὖν ρεῖ, ζεῖ, πλεῖ.

Ἐδέετο, ἐπλέετο· Ἰωνικὰ ταῦτα· ἡ δὲ Ἀττικὴ συνήθεια συναιρεῖ, ἐδεῖτο, ἐπλεῖτο, ἐρρεῖτο.

Προσδεῖσθαι λέγε, ἀλλὰ μὴ προσδέεσθαι διαιρῶν, ὡς Φαβωρῖνος λέγων ἁμαρτάνει.

Ἀρτοκόπος, ἀδόκιμον. Χρὴ δὲ ἀρτοπόπος ἢ ἀρτοποιὸς λέγειν.

Ἐνθήκη· τὸ μὲν παρενθήκη ὅπως ὑπὸ Ἡροδότου εἴρηται, ὕστερον ὀψόμεθα· τὸ δὲ ἐνθήκη, ὡς οἱ πολλοὶ λέγουσιν, ἄτοπον. ἀφορμὴν γὰρ λέγουσιν οἱ ἀρχαῖοι.

Ἐξυπνισθῆναι οὐ χρὴ λέγειν, ἀλλ' ἀφυπνισθῆναι.

Βαλανοκλέπτης μὴ λέγε, ἀλλὰ βαλανειοκλέπτης.

Βασίλισσα· οὐδεὶς τῶν ἀρχαίων εἶπεν, ἀλλὰ βασίλεια ἢ βασιλίς. Ἄλλως. Βασίλισσαν Ἀλκαῖόν φασι τὸν κωμῳδοποιὸν καὶ Ἀριστοτέλην ἐν τοῖς Ὁμήρου ἀπορήμασιν εἰρηκέναι. σὺ δὲ βασιλικὸς ἐπιστολεὺς ἐπιφανεὶς ἀνάλογον τῇ σαυτοῦ παρασκευῇ γεννικώτατον ἡμῖν ἐκόμισας μάρτυρα τὸν συγγράψαντα τὸν κατὰ Νεαίρας· ὅς διά τε τὰ ἄλλα ὑποπτεύθη μὴ εἶναι Δημοσθένους, καὶ διὰ τὰ τοιαῦτα τῶν ἀδοκίμων ὀνομάτων. Τοῖς πλείοσιν οὖν πειθόμενοι βασίλειαν ἢ βασιλίδα λέγωμεν· οὕτω γὰρ ἂν διακρίνειν δόξαιμεν τό τε καλὸν καὶ τὸ αἰσχρόν.

Σικχαίνομαι· τῷ ὄντι ναυτίας ἄξιον τοὔνομα, ἀλλ' ἐρεῖς βδελύττομαι, ὡς Ἀθηναῖος.

Γελάσιμον μὴ λέγε, ἀλλὰ γελοῖον.

Γελάσιμον· Στράττιν μέν φησι τὸν κωμῳδοποιὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰρηκέναι τοὔνομα, ἀλλ' ἡμεῖς οὐ τοῖς ἅπαξ εἰρημένοις προσέχομεν τὸν νοῦν, ἀλλὰ τοῖς πολλάκις κεχρημένοις· κέχρηται δὲ τὸ γελοῖον.

Ἀλεκτορὶς εὑρίσκεται ἐν τραγῳδίᾳ καὶ κωμῳδίᾳ, λέγε δὲ ἀλεκτρυών, καὶ ἐπὶ θήλεως καὶ ἐπὶ ἄρρενος, ὡς οἱ παλαιοί.

Γλωσσίδας αὐλῶν ἢ ὑποδημάτων μὴ λέγε, ἀλλ', ὡς οἱ δόκιμοι, γλώττας αὐλῶν, γλώττας ὑποδημάτων.

Γρύτη· καὶ τοῦτο τῶν παραπεποιημένων. τὸ γὰρ τοιοῦτον ἅπαν γρυμέαν συμβέβηκε καλεῖσθαι.

Διώρυγος, διώρυγι, διώρυγα, οὔ. οἱ γὰρ ἀρχαῖοι ταῦτα διὰ τοῦ χ λέγουσι, διώρυχος διώρυχι, διώρυχα.

Δίκρανον· τοῦτο οἱ ἀρχαῖοι δικροῦν καλοῦσιν.

Διόςκουροι, ὀρθότερον Διόςκοροι. γελάσεις οὖν τοὺς σὺν τῷ υ λέγοντας.

Ἔφης ἔστι μὲν παρὰ τοῖς ἀρχαίοις, ἀλλ' ὀλίγον· τὸ δὲ πλεῖστον ἔφησθα.

Ὑστερίζειν τῷ καιρῷ οὐ λέγεται, ἀλλ' ὑστερίζειν τοῦ καιροῦ. Φαβωρῖνος δὲ οὐχ ὑγιῶς κατὰ δοτικὴν συντάττει.

Παραβόλιον· ἀδόκιμον τοῦτο. τῷ μὲν οὖν ὀνόματι οὐ χρῶνται οἱ παλαιοί, τῷ δὲ ῥήματι. φασὶ γὰρ οὕτω, παραβάλλομαι τῇ ἐμαυτοῦ κεφαλῇ. ἐχρῆν οὖν κἀπὶ τούτων λέγειν, παραβάλλομαι ἀργυρίῳ.

Στατός, ὁ τῶν αὐλητῶν χιτὼν οὐ λέγεται, ὡς Φαβωρῖνος, ἀλλ' ὀρθοστάδιος χιτών.

Παιδίσκη· τοῦτο ἐπὶ τῆς θεραπαίνης οἱ νῦν τιθέασιν· οἱ δ' ἀρχαῖοι ἐπὶ τῆς νεάνιδος, οἷς ἀκολουθητέον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Παῖξαι· Δωριεῖς διὰ τοῦ ξ, ὁ δὲ Ἀττικὸς παῖσαι· καὶ παίσατε καὶ συμπαίστης διὰ τοῦ σ ἐρεῖς.

Παλαιστρικός· Ἄλεξιν φασὶν εἰρηκέναι· ὁ δὲ ἀρχαῖος παλαιστικὸν λέγει.

Ἐπαοιδὴ ἰδιώτης λέγων οὐχ ἁμαρτάνει. λέγε οὖν ὀρθῶς ἐπῳδή· ἐπεὶ τὸ διαιρούμενον ποιητικόν.

Διδοῦσιν· ἐν τῷ περὶ τῆς Εὐχῆς Φαβωρῖνος οὕτω λέγει, δέον διδόασι. τὸ γὰρ δ ι δ ο ῦ σ ι ν, ἄλλο τι σημαίνει, τὸ δεῖν.

Προάλως· τοῦτο δοκεῖ μοι γυναικῶν εἶναι τοὔνομα. ἀνιῶμαι δέ, ὅτι ἀνὴρ λόγου ἄξιος κέχρηται αὐτῷ Φαβωρῖνος. τοῦτο μὲν οὖν ἀποδιοπομπώμεθα, ἀντ' αὐτοῦ δὲ λέγωμεν προπετῶς.

Πηχῶν, πήχως· δεινῶς ἑκάτερον ἀνάττικον, δέον πηχέων καὶ πήχεος.

Σύμπτωμα πολλάκις εὗρον κείμενον παρὰ Φαβωρίνῳ ἐν τῷ περὶ Ἰδεῶν λόγῳ. Πόθεν δὲ λαβὼν ἔθηκεν, οὐκ οἶδα. Χρὴ οὖν συντυχίαν λέγειν, ἢ λύσαντας οὕτω, συνέπεσεν αὐτῷ τόδε γενέσθαι. Δημοσθένης μέντοι ἐν τῷ κατὰ Διονυσοδώρου ἅπαξ εἴρηκε τοὔνομα.

Ἔκθεμα βάρβαρον· σὺ δὲ λέγε πρόγραμμα.

Κατορθώματα· ἁμαρτάνουσι κἀνταῦθα οἱ ῥήτορες, οὐκ εἰδότες, ὅτι τὸ μὲν ῥῆμα δόκιμον, τὸ κατορθῶσαι· τὸ δ' ἀπὸ τούτου ὄνομα ἀδόκιμον, τὸ κατόρθωμα. λέγειν οὖν χρὴ ἀνδραγαθήματα.

Ὕπαιθρον μὴ λέγε, τὸ δὲ ὑπαίθριον τετρασυλλάβως.

Τὸ μὲν κοιτὼν ἀδόκιμον, τὸ δὲ προκοιτὼν οὐ δόκιμον· ἡμῖν δὲ καλὸν χρῆσθαι τῷ ἀττικῷ ὀνό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ματι· προδωμάτιον γὰρ λέγουσιν, ἐπεὶ καὶ δωμάτιον τὸν κοιτῶνα.

μῆγμα καὶ σμῆξαι· καὶ ταῦτα ἀνάττικα· τὸ γὰρ ἀττικὸν σμῆμα καὶ σμῆσαι· τὸ μὲν ἄνευ τοῦ γ, τὸ δὲ διὰ τοῦ σ.

ίκκος· Δωριεῖς διὰ τῶν δύο κκ, Ἀττικοὶ δὲ δι' ἑνός.

έπων· τοῦτο καθ' αὑτὸ οὐκ ὀρθῶς τιθέμενον ὁρῶ. σημαίνει γὰρ τὸ ὄνομα πᾶν τὸ ἐν πεπάνσει ὄν. τιθέασι δὲ αὐτὸ οἰκείως ἐπὶ τῶν σικύων. χρὴ οὖν οὕτω λέγειν, ὡς ὁ Κρατῖνος, σίκυον σπερματίαν, ἤ, εἰ θέλεις, πέπονα σίκυον. καθ' αὑτὸ δὲ τὸ πέπων ἐπὶ τοῦ αὐτοῦ μὴ τιθῇς.

ταρίστερον οὐ χρὴ λέγειν, ἀλλὰ σκαιόν.

ιόκιον· ἐπὶ ὑποθέσεως πεπλεγμένης οἱ εἰκαῖοι τιθέασιν· θαυμάζω οὖν, πῶς ὁ πρῶτος τῶν Ἑλλήνων δόξας εἶναι Φαβωρῖνος ἐχρῆτο ἐν συγράμματι ἐπιγραφομένῳ περὶ τῆς Δημάδους σωφροσύνης.

υππέϊνον τετρασυλλάβως οὐ χρὴ λέγειν, ἀλλὰ ἄνευ τοῦ ε τρισυλλάβως στύππινον ὡς οἱ ἀρχαῖοι. ταῦτα φυλλατόμενός τις βελτίων καὶ δυιμώτατος εἴη ἄν.

---

# ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΤΟΜΗ

τίρρησιν μὴ λέγε, ἀντιλογίαν δέ.

γγελίζομαί σε. Καὶ περὶ ταύτης τῆς συντάξεως διασκεπτόμενος ἐπὶ συχνὸν δή τινα χρόνον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἴτε αἰτιατικῇ συντακτέον αὐτὸ πτώσει, εἴτ
τικῇ, εὑρίσκω κατὰ δοτικὴν ἡρμοσμένον· Ἀρι
φάνους μὲν οὕτω λέγοντος ἐν τοῖς Ἱππε
Εὐαγγελίσασθαι πρῶτος ὑμῖν βούλομαι· Φ
χου δὲ τοῦ κωμῳδοῦ ἐν τοῖς Σατύροις οὕτως
τιή πρὶν ἐλθεῖν αὐτὸν εἰς βουλὴν ἔδει καὶ
ἀπαγγείλαντα πάλιν πρὸς τὸν θεὸν ἥκειν,
δ' ἀπέδραν ἐκεῖνον δευριανὸν δεῖ. Καὶ οὕτω
γουσιν Εὐαγγελίζομαι ἢ εὐαγγελῶ· οὗ ὁ
των τὸ δεύτερον πρόσωπον λέγει εὐαγγελεῖ

Ἐκαθέσθη, καθεσθείς, καθεσθήσομαι καὶ τὰ
θυντικὰ καθεσθήσονται, ἔκφυλα. Λέγε οὖν κ
ζομαι, καθεδοῦμαι, καθεδεῖται, καθεδοῦνται,
θεδούμενος.

Ἀνέκαθεν· φυλακτέον ἐπὶ χρόνου λέγειν, οἷον
καθέν μοι ἐστὶ φίλος· ἐπὶ γὰρ τόπου τάττο
αὐτὸ Ἀθηναῖοι, λέγοντες ἀνέκαθεν κατέπ
λέγειν οὖν χρή, ἄνωθέν σοι φίλος εἰμί· εἰ δ
φαίη παρὰ Ἡροδότῳ ἐπὶ χρόνου εἰρεῖσθαι
νομα, ἀληθῆ μὲν φήσει· εἴρηται γάρ· οὐ μὴ
ὑφ' Ἡροδότου εἰρῆσθαι τὸ δόκιμον τῆς χρήσ
παρέχεται.

Κεφαλαιωδέστατον· τοῦτο τοὔνομα εὗρον ἐν ἀ
τῶν Πολέμωνος τοῦ ἰωνικοῦ σοφιστοῦ Ἱστορ
κατὰ προοίμιον, καὶ θαυμάζω Σεκούνδου
συγγενομένου αὐτῷ γραμματικοῦ, πῶς ὢν
ἄλλα δεξιὸς ἐπὶ λέξιν καὶ ἐπανορθῶν τὰ συγγ
μματα τοῦ σοφιστοῦ, τοῦτο παρεῖδεν ἀδόκιμον

Ἔσθ' ὅπη· τί πάσχουσιν οἱ οὕτω λέγοντες, δ
ἔστιν ὅτε λέγειν, οὐκ ἄν τις εἰκάσειεν, ἀλλ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦτο μόνον, ὅτι ἠμελημένοι εἰσὶν οἱ τούτῳ τῷ ὀνόματι χρώμενοι.

Βάκηλος· ἁμαρτάνουσιν οἱ τάττοντες τοῦτο κατὰ τοῦ βλακός. σημαίνει γὰρ ὁ βάκηλος τὸν ἀποτετμημένον τὰ αἰδοῖα, ὃν Βιθυνοὶ καὶ Ἀσιανοὶ Γάλλον καλοῦσι. λέγε οὖν βλὰξ καὶ βλάκιον, ὡς οἱ ἀρχαῖοι.

Ἑκὼν εἶναι· καὶ περὶ τούτου ἰδιώτης μὲν οὐκ ἂν πταίσειε· τῶν δὲ σφόδρα προσποιουμένων ἀρχαίᾳ φωνῇ κεκριμένῃ χρῆσθαι, τόδε ἁμάρτημα τοιοῦτόν ἐστιν. οἱ μὲν παλαιοὶ οὕτω συντάττουσι τὸ ἑκὼν εἶναι, ὥστε πάντως ἀπαγόρευσιν ἢ ἄρνησιν ἐπιφέρειν ἢ προστιθέναι. οἷον, ἑκὼν εἶναι οὐ μὴ ποιήσω. οὕτω καὶ οἱ νῦν εὖ φρονοῦντες. ὅσοι δὲ ἐπὶ καταφάσεως τιθέασι τὸ ἑκὼν εἶναι, οἷον, ἑκὼν εἶναι ἔπραξα, ἑκὼν εἶναι ἐπεβουλευσάμην, οὗτοι δὲ μάλιστα ἁμαρτάνουσιν.

Ὄρθρος νῦν ἀκούω τῶν πολλῶν τιθέντων ἐπὶ τοῦ πρὸ ἡλίου ἀνίσχοντος χρόνου. οἱ δὲ ἀρχαῖοι ὄρθρον καὶ ὀρθρεύεσθαι τὸ πρὸ ἀρχομένης ἡμέρας, ἐν ᾧ ἔτι λύχνῳ δύναταί τις χρῆσθαι. ὃ τοίνυν οἱ πολλοὶ ἁμαρτάνοντες λέγουσιν ὄρθρον, τοῦθ' οἱ ἀρχαῖοι ἕω λέγουσιν.

Μαγειρεῖον· τὸ μὲν μάγειρος δόκιμον, τὸ δὲ μαγειρεῖον οὐκέτι, ἀντὶ δὲ τούτου ὀπτάνιον λέγουσιν, τῆς μὲν δευτέρας συλλαβῆς ὀξυτονουμένης, τῆς δὲ τρίτης συστελλομένης.

Τυγχάνω· καὶ τοῦτο προσεκτέον· οἱ γὰρ ἀμελεῖς οὕτω λέγουσι φίλος σοι τυγχάνω, ἐχθρός μοι τυγχάνεις. δεῖ δὲ τῷ ῥήματι τὸ ὢν προστιθέναι, φί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λος μοι τυγχάνεις ὤν, ἐχθρός μοι τυγχάνεις ὤν. οὕτω γὰρ οἱ ἀρχαῖοι ἐχρήσαντο.

Σύγκρισις· Πλούταρχος ἐπέγραψε σύγγραμμά τι τῶν αὑτοῦ Σύγκρισις Ἀριστοφάνους καὶ Μενάνδρου. καὶ θαυμάζω, πῶς φιλοσοφίας ἐπ' ἄκρον ἀφιγμένος καὶ σαφῶς εἰδώς, ὅ, τι ποτέ ἐστιν ἡ σύγκρισις, ἐχρήσατο ἀδοκίμῳ φωνῇ. ὁμοίως δὲ καὶ τὸ συγκρίνειν τόνδε τῷδε καὶ συνέκρινεν ἡμάρτηται. χρὴ οὖν ἀντεξετάζειν καὶ παραβάλειν λέγειν.

Κατ' ἐκεῖνο καιροῦ· παρὰ μὲν ἄλλῳ τῶν δοκίμων οὐχ εὗρον. ἡγοῦμαι δὲ καὶ Θουκυδίδην ἐν τῇ ἢ μετὰ τοῦ ἄρθρου εἰρηκέναι κατ' ἐκεῖνο τοῦ καιροῦ. καὶ ἐγὼ μὲν φυλάττεσθαι παραινῶ οὕτω χρῆσθαι· εἰ δ' ὅτι Θουκυδίδης εἴρηκε, θαρροίη τις χρῆσθαι, χρήσθω μὲν σὺν τῷ ἄρθρῳ.

Ἐπέστησε δὲ καὶ ἐπιστάσεως ἄξιον τὸ πρᾶγμα, ἀντὶ τοῦ ἠπόρησε καὶ ἀπορίας ἄξιον τὸ πρᾶγμα. οὕτω χρωμένων τῶν Στωϊκῶν φιλοσόφων πολλάκις ἀκήκοα· εἰ δὲ καὶ ἀρχαίως ἢ δοκίμως, ἄξιον ἐπισκέψεως.

Εὐστάθεια ἢ εὐσταθής· πόθεν καὶ ταῦτα εἰς τὴν τῶν Ἑλλήνων φωνὴν εἰσερρύη, ἀδοκιμώτατα ὄντα, φροντίδος ἄξιον. Ἀλλὰ σὺ ἐμβρίθεια λέγε καὶ ἐμβριθής.

Πάλι· οὕτω λέγουσιν οἱ νῦν ῥήτορες καὶ ποιηταί, δέον μετὰ τοῦ ν πάλιν, ὡς οἱ ἀρχαῖοι λέγουσιν.

Ἀπόστασις ἔργων· καὶ τοῦτο τῶν ἠμελημένων. ἐπὶ πολὺ δὲ παρὰ τοῖς ἐργολάβοις τῶν ἔργων. ζητοῦντες δέ, τί ἂν ἀντ' αὐτῶν ἀρχαῖον θείημεν ὄ-

νόμα, οὐ ῥαδίως ἄχρι νῦν εὑρίσκομεν. εἰ δ' εὑρεθείη, ἀναγεγράψεται.

Γεννήματα· πολλαχοῦ ἀκούω τὴν λέξιν τιθεμένην ἐπὶ τῶν καρπῶν. ἐγὼ δὲ οὐκ οἶδα ἀρχαίαν καὶ δόκιμον οὖσαν. χρὴ οὖν ἀντὶ τοῦ γεννήματα καρποὺς λέγειν ξηροὺς καὶ ὑγρούς.

Ἵνα ἄξωσιν οὐ χρὴ λέγειν, ἀλλ' ἵνα ἀγάγωσιν.

Ἐὰν ἄξῃς οὐδεὶς ἂν φαίη, ἀλλ' ἐὰν ἀγάγῃς.

Συνήντετο καὶ ἀπήντετο ποιητικά. χρὴ οὖν ἀπήντησε λέγειν καὶ συνήντησεν.

Σίναπι οὐ λεκτέον· νάπυ δὲ, ὅτι ἀττικὸν καὶ δόκιμον.

Ὀνυχίζειν καὶ ἐξονυχίζειν· ταὐτὸ σημένει ἑκάτερα, καὶ τίθεται ἐπὶ τοῦ ἀκριβολογεῖσθαι. τὸ δ' ἀπονυχίζειν τὸ τὰς ὑπεραυξήσεις τῶν ὀνύχων ἀφαιρεῖν σημαίνει. Ἐπειδὴ δ' ὁ πολὺς συρφετὸς λέγουσι· ὀνύχισόν με καὶ ὠνυχισάμην, διὰ τοῦτο σημαινόμεθα τὰ ὀνόματα καὶ φαμὲν, ὅτι, εἰ μὲν ἐπὶ τοῦ τοὺς ὄνυχας ἀφαιρεῖν τίθησί τις, χρήσαιτο ἂν τὸ ἀπονυχίζειν· εἰ δὲ ἐπὶ τοῦ ἀκριβολογεῖσθαι καὶ ἐξετάζειν ἀκριβῶς, τῷ ὀνυχίζειν χρήσαιτ' ἄν.

Ὁ νῶτος ἀρσενικῶς λεγόμενος ἁμαρτάνεται. οὐδετέρως δὲ τὸ νῶτον καὶ τὰ νῶτα δοκίμως ἂν λέγοιτο.

Βρέχειν ἐπὶ τοῦ ὕειν ἔν τινι κωμῳδίᾳ ἀρχαίᾳ προςτιθεμένῃ Τηλεκλείδῃ τῷ κωμῳδῷ ἐστὶν οὕτως εἰρημένον. ὅπερ εἰ καὶ γνήσιον ἦν τὸ δρᾶμα, τὸ ἅπαξ εἰρῆσθαι ἐφυλαξάμεθ' ἄν. ὁπότε δὲ καὶ νόθον ἐστὶ, παντελῶς ἀποδοκιμαστέον τοὔνομα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Λάμυρος· οἱ νῦν μὲν τὸν ἐπίχαριν τῷ ὀνόματι σημαίνουσιν· οἱ δ' ἀρχαῖοι τὸν ἰταμὸν καὶ ἀναιδῆ.*

*Ἐπίδεσμος καὶ ἐπίδεσμοι ἀρσενικῶς· οὕτω μὴ λέγε ἀλλὰ κατάδεσμος. οὐδετέρως δὲ τὸ ἐπίδεσμον καὶ τὰ ἐπίδεσμα, ὡς οἱ ἀρχαῖοι.*

*Τὸ σκάτος καὶ τοῦτο ἐπ' εὐθείας τιθέμενον ἀμαθές· γενικῆς γάρ ἐστι πτώσεως, τοῦ σκατὸς, ἡ δὲ εὐθεῖα τὸ σκώρ· ἁμαρτάνοντες δὲ οἱ πολλοὶ τὴν μὲν ὀρθὴν τὸ σκάτος ποιοῦσι, τὴν δὲ γενικὴν σὺν τῷ υ, τοῦ σκάτους.*

*Φλοῦς· καὶ τοῦτο ἡμάρτηται· οἱ γὰρ Ἀθηναῖοι φλέως λέγουσι, καὶ τὰ ἀπὸ τούτου γινόμενα φλέϊνα καλεῖται.*

*Πεποίθησις οὐκ εἴρηται. ἀλλ' ἤτοι πιστεύειν ἢ πεποιθέναι.*

*Παλαστὴ τὸ μέτρον καὶ θηλυκῶς λέγεται καὶ ἄνευ τοῦ ι· ἀμαθεῖς δ' οἱ λέγοντες σὺν τῷ ι καὶ σὺν τῷ σ, παλαιστὴς, ὁμωνύμως τῷ ἀθλητῇ· ὁ μέντοι ἀθλητὴς παλαιστὴς ἀρσενικῶς καλεῖται.*

*Ἔγγιον ἐπὶ τοῦ ἐγγύτερον μὴ λέγε, ἀλλ' ἐγγύτερον· ἐπὶ δὲ τοῦ ἐν τῇ γῇ, οἷον ἔγγειον κτῆμα, εἴτις χρῷτο, ἄριστα ἂν χρήσαιτο· ὡς καὶ Δημοσθένης ἔγγειον τόκον λέγει.*

*Ξύστραν μὴ λέγε, ἀλλὰ στλεγγίδα.*

*Μαμμόθρεπτον μὴ λέγε, τηθελαδοῦν δέ.*

*Σίλφην· καὶ τοῦτο διεφθαρμένον. τίλφην γὰρ οἱ παλαιοὶ λέγουσιν.*

*Ψύα· οἱ μὲν ἁπλῶς ἁμαρτάνοντες διὰ τοῦ υ, οἱ δὲ διπλῇ ἁμαρτάνοντες διὰ τοῦ οι, οἷον ψοία.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔστι δὲ καὶ τὸ ὄνομα πολὺ κίβδηλον. νεφρὸν οὖν λέγε.

Ὑλιστήρ· τρυγοιπὸν τοῦτο καλοῦσιν οἱ δοκίμως διαλεγόμενοι.

Πάπειρος· τοπάσειεν ἄν τις Αἰγύπτιον εἶναι τοὔνομα, πολὺ γὰρ κατ' Αἴγυπτον πλάζεται. ἡμεῖς δὲ βίβλον ἐροῦμεν.

Ἀφρόνιτρον· τελέως ἐξίτηλον καὶ ἀδόκιμον. χρὴ οὖν λίτρον λέγειν ἢ λίτρου ἀφρόν.

Νίτρον. τοῦτο Αἰολεὺς μὲν ἂν εἴποι, ὥσπερ οὖν καὶ ἡ Σαπφὼ διὰ τοῦ ν· Ἀθηναῖος δὲ διὰ τοῦ λ, λίτρον.

Ἐξάδελφος· ἀποδιοπομπητέον, ἀνεψιὸς δὲ ῥητέον.

Ὑπάλλαγμα ἀμαθῶς τινες ἀντὶ τοῦ ἐνέχυρον.

Πανδοχεῖον, οἱ διὰ τοῦ χ λέγοντες ἁμαρτάνουσιν· διὰ γὰρ τοῦ κ χρὴ λέγειν πανδοκεῖον καὶ πανδοκεὺς καὶ πανδοκεύτρια.

Τὴν φθεῖρα λέγουσί τινες καὶ τὴν κόριν· σὺ δὲ ἀρσενικῶς τὸν κόριν λέγε καὶ τὸν φθεῖρα, ὡς οἱ ἀρχαῖοι.

Μόκλον μὴ λέγε διὰ τοῦ κ· ἀδόκιμον γάρ· ἀλλὰ διὰ τοῦ χ.

Κατὰ κοιλίας ποιεῖν οἱ γυμναστικοὶ λέγουσιν· ὁπόθεν δὲ λαβόντες φασίν, ἄδηλον· οἱ γὰρ παλαιοὶ ὑπάγειν τὴν γαστέρα λέγουσιν.

Ἐφιόρκους· τοῦτο διὰ τοῦ π λέγε ἐπιόρκους.

Ψίεθος, μιερός, ὕελος, ἁμαρτάνουσιν οἱ διὰ τοῦ ε λέγοντες. ἀδόκιμον γάρ. καὶ Κορίννα τὸν ὑάλινον παῖδα θήσεις.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ πύελος διὰ τοῦ ε, καὶ μυελὸς ῥητέον.

Οἱ χόλικες ἀμαθές· οἱ γὰρ δόκιμοι θηλυκῶς αἱ χόλικες φασίν.

Χονδροκόνειον· ἀμαθὲς τὸ σύνθετον τοῦτο καὶ ἀλλόκοτον.

Ἐκτενῶς μή, ἀλλ' ἀντὶ αὐτοῦ δαψιλῶς λέγε.

Πρώτως· Ἀριστοτέλης καὶ Χρύσιππος λέγει· ἔστι δὲ διεφθαρμένον πάνυ τοὔνομα· οὐδὲ γὰρ δευτέρως καὶ τρίτως φαμέν. λέγε οὖν πρῶτον.

Παραθήκην Ἱππίαν καὶ Ἴωνα τινὰ συγγραφέα φασὶν εἰρηκέναι· ἡμεῖς δὲ τοῦτο παρακαταθήκην ἐροῦμεν, ὡς Πλάτων καὶ Θουκυδίδης καὶ Δημοσθένης.

Ἀπαράβατον παραιτοῦ λέγειν, ἀλλ' ἀπαραίτητον.

Λυχνίαν ἀντὶ τοῦ λύχνιον, ὡς ἡ κωμῳδία.

Ἀγωγόν· τοῦτο τοὔνομα τάττουσιν οἱ παλαιοὶ ἐπὶ τοῦ τινα ὁδὸν ἡγουμένου· οὕτω καὶ Θουκυδίδης κέχρηται· νῦν δὲ οἱ περὶ τὰ δικαστήρια ῥήτορες ἀγωγοὺς καλοῦσι τοὺς ὀχετοὺς τῶν ὑδάτων.

Κρύβεται φεῦγε διὰ τοῦ β λέγειν καὶ κρύβεσθαι, ἀλλὰ διὰ ππ, κρύπτεται και κρύπτεσθαι φάθι.

Καρῆναι καὶ ἐκάρην φασίν, καὶ εἶναι τούτου πρὸς τῷ κείρασθαι διαφοράν. Τὸ μὲν γὰρ ἐπὶ προβάτων τιθέασι καὶ ἐπὶ ἀτίμου κουρᾶς· κείρασθαι δὲ ἐπὶ ἀνθρώπων· ὃ δεῖ φυλάττειν.

Κοχλιάριον· τοῦτο λίστρον Ἀριστοφάνης ὁ κωμῳδοποιὸς λέγει· καὶ σὺ δὲ οὕτω λέγε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Δεξαμενή· φασὶ Πλάτωνα ἐπὶ τῆς κολυμβήθρας εἰρηκέναι· ἐγὼ δὲ οὔ φημι· ἀλλὰ δεξαμένη τῷ τόνῳ εἶπεν ὡς ποιουμένη· χρὴ οὖν καὶ ἡμᾶς κολυμβήθρα λέγειν.

Χθιζόν· ἀποβλητέον, ὅτι ποιητικόν, ἀντὶ δὲ τοῦ χθιζοῦ ἐροῦμεν χθεσινόν, πρὸς τὸ πολιτικὸν ἀποτορνεύοντες τὸν λόγον, ὡς καὶ Ἀριστοφάνης.

Βαθμὸς ἰακὸν διὰ τοῦ θ, διὰ τοῦ σ ἀττικόν.

Πυρία· τοῦτο τάττουσιν οἱ πολλοὶ ἐπὶ τῆς ἐν τῷ βαλανείῳ πυέλου, καὶ ἔχει μὲν τὸ ἔτυμον ἀπὸ τοῦ πυροῦσθαι, οὐ μὴν τὸ ἀκριβὲς καὶ δόκιμον. πυέλους γὰρ οἱ ἀρχαῖοι καλοῦσιν, ἀλλ' οὐ πυρίας.

Ἵπτασθαι παραιτητέον, εἰ καὶ ἅπαξ που εἴη κείμενον ἢ δίς. πέτεσθαι δὲ λέγε.

Νήστης βάρβαρον. τὸ δ' ἀρχαῖον νῆστις διὰ τοῦ ι.

Κατὰ χειρῶν δεινῶς ἀνελλήνιστον, καὶ τὸ ἐπὶ χειρῶν δέ· μεστὴ γὰρ ἡ κωμῳδία τοῦ κατὰ χειρός.

Φάγομαι βάρβαρον. λέγε οὖν ἔδομαι καὶ κατέδομαι. τοῦτο γὰρ Ἀττικόν.

Ἡμικεφάλαιον μὴ λέγε, ἀλλὰ ἡμίκρανον.

Ἐνάρετος· πολὺ παρὰ τοῖς Στωικοῖς κυκλεῖται τοὔνομα, οὐκ ὂν ἀρχαῖον.

Γαστροκνημίαν μὴ λέγε, ἀλλὰ κνήμην.

Θέρμα· οὕτως ὁ Μένανδρος διὰ τοῦ α, ἀλλ' οὔτε Θουκυδίδης, οὔθ' ἡ ἀρχαία κωμῳδία, οὔτε Πλάτων, θέρμη δέ.

Ἐθεληκέναι· Ἀλεξανδρεωτικὸν τοὔνομα. διὸ ἀφετέον Ἀλεξανδρεῦσιν καὶ Αἰγυπτίοις αὐτό· ἡμῖν δὲ ῥητέον ἠθεληκέναι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ψύλλος βάρβαρον. ἡ δὲ ψύλλα δόκιμον, ὅτι καὶ ἀρχαῖον.

Εὐσχήμων· τοῦτο μὲν οἱ ἀμαθεῖς ἐπὶ τοῦ πλουσίου καὶ ἐν ἀξιώματι ὄντος τάττουσιν· οἱ δ' ἀρχαῖοι ἐπὶ τοῦ καλοῦ καὶ συμμέτρου.

Ἐπίτοκος ἡ γυνὴ ἀδοκίμως εἶπεν Ἀντιφάνης ὁ κωμῳδός, δέον ἐπίτεξ εἰπεῖν.

Ἐγκάθετος· οὕτως Ὑπερίδης ἀπερριμμένως, δέον δοκιμώτερον χρήσασθαι τῷ θετός, ἢ εἰσποίητος, ἢ ὑπόβλητος.

Ἐνδυμενία· ἀμαθῶς· δέον διττῶς λέγειν, ὡς Εὔπολις Κόλαξι, σκεύη τὰ κατὰ τὴν οἰκίαν καὶ ἔπιπλα.

Ἐμπυρισμός· οὕτως Ὑπερίδης ἠμελημένως, δέον ἐμπρησμὸς λέγειν.

Ἡμίκακον· οὐχ οὕτως, ἀλλ' ἡμιμόχθηρον φάθι.

Ἔμελλον ποιῆσαι, ἔμελλον θεῖναι, ἁμαρτήματα τῶν ἐσχάτων, εἴτις οὕτω συντάττει· τετήρηται γὰρ ἢ τῷ ἐνεστῶτι συνταττόμενον ἢ τῷ μέλλοντι· οἷον ἔμελλον ποιεῖν, ἔμελλον ποιήσειν· τὰ δὲ συντελικὰ οὐδένα τρόπον ἁρμόσει τῷ ἔμελλον. Ἄλλως.

Ἔμελλον γράψαι· ἐσχάτως βάρβαρος ἡ σύνταξις αὕτη· ἀορίστῳ γὰρ χρόνῳ τὸ ἔμελλον οὐ συντάττουσιν οἱ Ἀθηναῖοι, ἀλλ' ἤτοι ἐνεστῶτι, οἷον ἔμελλον γράφειν, ἢ μέλλοντι, ἔμελλον γράψειν.

Κραυγασμός· παρακειμένου τοῦ κεκραγμός εἰπεῖν, ἐρεῖ τις ἀμαθῶς κραυγασμός.

Κορυδαλός· Εὐβούλου τοῦ κωμῳδοποιοῦ δρᾶμα ἐπιγράφεται οὕτως· σὺ δὲ τοῖς περὶ Ἀριστο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φάνην πειθόμενος κόρυδον λέγε τὸ ζῶον.

Καμμύει· τοσαύτη κακοδαιμονία περί τινας ἐστὶ τῆς βαρβαρίας, ὥστ' ἐπειδὴ Ἄλεξις κέχρηται τῷ καμμύειν ἠμελημένως ἐσχάτως, αἱρεῖσθαι καὶ αὐτοὺς οὕτω λέγειν· δέον, ὡς οἱ ἄριστοι τῶν ἀρχαίων, καταμύειν.

Κεφαλοτομεῖν· ἀπόρριπτε τοὔνομα καὶ Θεόφραστον κεχρημένον αὐτῷ· λέγε δὲ καρατομεῖν.

Λάκαιναν μὲν γυναῖκα ἐρεῖς, Λάκαιναν δὲ τὴν χώραν οὐκ, ἀλλὰ Λακωνικήν, εἰ καὶ Εὐριπίδης παραλόγως ὡς ἡ Λάκαινα τῶν Φρυγῶν μείων πόλις.

Μὲν οὖν τοῦτο πράξω· τίς ἀνάσχοιτο οὕτω συντάττοντός τινος ἐν ἀρχῇ λόγου; οἱ γὰρ δόκιμοι τὸ μὲν οὖν ὑποτάσσουσιν, ἐγὼ μὲν οὖν λέγοντες, τὰ καλὰ μὲν οὖν, καὶ τὰ μὲν οὖν πράγματα.

Μιαρία ἀδόκιμον· τὸ δὲ μιαρὸς ἀρχαῖον.

Γαμῴη μὴ λέγε, ἀλλὰ γαμοίη διὰ τῆς **οι**, ὡς νοοίη, φιλοίη· τὰ γὰρ τῆς πρώτης συζυγίας καὶ τρίτης τῶν περισπωμένων ῥημάτων εὐκτικὰ διὰ τῆς **οι** διφθόγγου λέγεται, οἷον τελοίη· τὰ δὲ τῆς δευτέρας διὰ τοῦ **ω**, οἷον νικῴη, γελῴη.

Ἐργοδότης οὐ κεῖται, τὸ δὲ ἐργοδοτεῖν παρά τινι τῶν νεωτέρων κωμῳδῶν, οἷς καὶ αὐτοῖς οὐ πειστέον.

Ἐντέχνως· πάνυ αἰτιῶνται τὸ ὄνομα καί φασι τεχνικῶς δεῖν λέγειν· ἀλλὰ καὶ Λυσίαν, εἰρηκότα ἐντέχνως, παραιτοῦνται.

Διδῴη καὶ διδῴης· οὐδεὶς τῶν Ἀττικῶν τούτου τὸ εὐκτικὸν εἶπε διὰ τοῦ **ω**, ἀλλὰ διὰ τῆς **οι**

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διφθόγγου, τεκμηριοῖ δὲ Ὅμηρος, ἐὰν μὲν ὑποτακτικῶς χρῆται, διὰ τοῦ ω λέγων· εἰ δέ κεν αὐτὸς δῴη κῦδος ἀρέσθαι. ἔστι δέ, ἐὰν δέ σοι δῷ ὁ Ζεύς. εἰ δὲ εὐκτικῶς, οὕτως· Σοὶ δέ κεν θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι μενοινᾷς. ἐθαύμασα οὖν Ἀλεξάνδρου τοῦ Σύρου σοφιστοῦ δῴη καὶ διδῴη λέγοντος ἐπὶ εὐκτικοῦ.

Βρώσομαι, κακῶς ὁ Φαβωρῖνος. οἱ γὰρ Ἀττικοὶ ἀντ᾽ αὐτοῦ τῷ ἔδομαι καὶ κατέδομαι χρῶνται· ἄκριτον οὖν καὶ ἀπόβλητον τῶν ἀττικῶν φωνῶν τὸ βρώσομαι ῥῆμα.

Ἄγαγον· καὶ τοῦτο εἰ μὲν τὴν μετοχὴν εἶχεν ὁ ἀγάγας, ἐν λόγῳ ἄν τινι ἦν. Λεκτέον οὖν ἄγαγε, καὶ γὰρ ἡ μετοχή, ἀγαγών, ὡς ἄνελε, ἀνελών.

Ἀναισθητεύομαι, τὸ μὲν ὄνομα ἀναίσθητος δόκιμον, τὸ δὲ ῥῆμα οὐκέτι. Λέγε οὖν οὐκ αἰσθάνομαι.

Αὐθεκαστότης· ἀλλόκοτον. τὸ μὲν οὖν αὐθέκαστος κάλλιστον ὄνομα. τὸ δὲ παρὰ τοῦτο πεποιημένον αὐθεκαστότης κίβδηλον.

Τὸν παῖδα τὸν ἀκολουθοῦντα μετ᾽ αὐτοῦ· Λυσίας ἐν τῷ κατ᾽ Αὐτοκράτους οὕτω τῇ συντάξει χρῆται. Ἐχρῆν δὲ οὕτω εἰπεῖν, τὸν ἀκολουθοῦντα αὐτῷ. Τί ἂν οὖν φαίη τις, ἁμαρτεῖν τὸν Λυσίαν ἢ νοθεύειν καινοῦ σχήματος χρῆσιν; ἀλλ᾽ ἐπεὶ ξενικὴ σύνθεσις, πάντη παραιτητέα· ῥητέον δὲ ἀκολουθεῖν αὐτῷ.

Βιωτικόν· ἀειδὴς ἡ λέξις· λέγε οὖν χρήσιμον ἐν τῷ βίῳ.

Βουνός· ὀθνεία ἡ φωνὴ τῆς Ἀττικῆς· καὶ γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτὸς ὁ χρησάμενος τῷ ὀνόματι, συνεὶς ξένως κεχρημένος, σημαίνεται ὡς ἀσαφῶς διαλεγόμενος. εἰπόντος γάρ τινος

Βουνὸν ἐπὶ ταύτῃ καταλαβὼν ἄνω τινά.

ὁ προσδιαλεγόμενος, οὐ συνεὶς τὸ ξένον τοῦ ὀνόματος, φησί.

Τίς ἐσθ' ὁ βουνός; ἵνα σαφῶς σου μανθάνω.

ἐν δὲ τῇ Συοακουσίᾳ ποιήσει καθωμίληται. ἀλλ' οὐ προσίεται ὁ Ἀθηναῖος τὴν ἀλλοδαπὴν διαλέξιν. ὅπου γὰρ ἀνεπίμικτος καὶ ἄχραντος βούλεται μένειν τῆς ἄλλης Ἑλλάδος, Αἰολέων λέγω καὶ Δωριέων καὶ Ἰώνων, τούτων μὲν καὶ συγγενῶν ὄντων, σχολῇ γ' ἂν ἀδόκιμον μιξοβάρβαρον πρόσειτο φωνήν. ὁ δ' οὖν κεχρημένος τῷ βουνὸς ὀνόματι Φιλήμων ἐστίν, εἷς τῶν τῆς νέας κωμῳδίας.

Μουθυλεύω· οὕτω τινὲς τὸ μολύνοντα ταράττειν λέγουσι. καὶ ἔστι δυσχερές. ἀπόρριπτε οὖν καὶ τοῦτο.

Βόλβιτον ὀλίγοι τινὲς λέγουσι τῶν Ἀττικῶν. ἀλλὰ τούτου δοκιμώτερον τὸ βόλιτον ἄνευ τοῦ δευτέρου β.

Γογγυσμὸς καὶ γογγύζειν· ταῦτα ἀδόκιμα μὲν οὐκ ἔστιν, Ἰακὰ δέ. Φωκυλίδην γὰρ οἶδα κεχρημένον αὐτῷ τὸν Μιλήσιον, ἄνδρα παλαιὸν σφόδρα. Καὶ τόδε Φωκυλίδεω· χρή τοι τὸν ἑταῖρον ἑταίρῳ φροντίζειν ἅσσ' ἂν περιγογγύζωσι πολῖται. Ἀλλὰ τοῦτο μὲν Ἴωσιν ἀφείσθω· ἡμεῖς δὲ τονθρυσμὸν καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τονθρύζειν λέγωμεν, ἢ νὴ Δία σὺν τῷ ο τονθορυσμὸν καὶ τονθορύζειν.

Δύνῃ· ἐὰν μὲν τοῦτο ὑποτακτικὸν ᾖ, ἐὰν δύνωμαι, ἐὰν δύνῃ, ὀρθῶς λέγεται· ἐὰν δὲ ὁριστικῶς τιθῇ τις, δύνῃ τοῦτο πρᾶξαι, οὐχ ὑγιῶς ἂν τιθείη. χρὴ γὰρ λέγειν δύνασαι τοῦτο πρᾶξαι.

Ὥρκωσε καὶ ὁρκώτης δ' ἐγώ· οὕτω Κρατῖνος φησί. μᾶλλον διὰ τοῦ ω λέγε ἢ διὰ τοῦ ι, ὥρκισεν.

Εὐκερματεῖν· ἀηδὲς πάνυ. ἥδιστα ἂν εἴποις εὐπορεῖν κερμάτων.

Ἐνιαυσιαῖον καὶ τοῦθ' ὅμοιόν ἐστι τῷ Διονυσιαῖον, κίβδηλον. λέγε οὖν πεντεσυλλάβως ἐνιαύσιον, ὡς Διονύσιον.

Ἐξαλλάξαι, τὸ τέρψαι καὶ παραγαγεῖν εἰς εὐφροσύνην, φυλαττόμενον χρὴ οὕτω λέγειν· οὐ γὰρ χρῶνται οἱ δόκιμοι. Φιλιππίδης δὲ καὶ Μένανδρος αὐτῷ χρῶνται.

Ἐνεχυριμαῖα οὐδεὶς τῶν δοκίμων εἶπεν· εἰ δὲ τῶν ἠμελημένων, οὐ φροντὶς Ἱπποκλείδῃ· ἐνέχυρα δέ.

Ἐκλείψας ἀδόκιμον· ἀλλὰ τὸ ἐκλιπών.

Χρηστὸς τὰ ἤθη, πληθυντικῶς φυλάττου. οἱ γὰρ δόκιμοι χρηστὸς τὸ ἦθος ἑνικῶς φασὶ καὶ οὐ τὰ ἤθη.

Θυρεός· τοῦθ' Ὅμηρος ἐπὶ λίθου τίθησιν ἀντὶ θύρας τὴν χρείαν παρέχοντος. Οἱ δὲ πολλοὶ ἀντὶ τῆς ἀσπίδος τιθέασιν, οὐδενὸς τῶν δοκίμων καὶ ἀρχαίων χρησαμένου· χρὴ οὖν ἀσπίδα λέγειν.

Διονύσιον· ἀπαίδευτον οὕτω λέγειν, δέον βραχύνειν τὴν σι συλλαβήν· οἱ γὰρ ἐκτείνοντες παρὰ τὴν τῶν Ἀττικῶν διάλεκτον λέγουσι. χρὴ οὖν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀριστοφάνει ἀκολουθοῦντας λέγειν. ἐν γὰρ τῷ Γήρᾳ φησί,

Α. Τίς ἂν φράσειε, ποῦ 'στι τὸ Διονύσιον;

Β. Ὅπου τὰ μορμολυκεῖα προσκρεμάννυται.

Οὐχ οἷον ὀργίζομαι· κίβδηλον ἐσχάτως. μάλιστα ἁμαρτάνεται ἐν τῇ ἡμεδαπῇ, οὐχ οἷον καὶ μὴ οἷον λεγόντων, ὅπερ οὐ μόνον τῷ ἀδοκίμῳ ἀπόβλητον, ἀλλὰ καὶ τῷ ἤχῳ ἀηδές. λέγειν δὲ χρὴ οὐ δήπου, μὴ δήπου.

Οἰκίας δεσπότης λεκτέον, οὐχ, ὡς Ἄλεξις, οἰκοδεσπότης.

Ὁνδηποτοῦν μὴ λέγε, ἀλλὰ δοκίμως ὁντινοῦν.

Πρόσφατον· καὶ περὶ τούτου πολλὴν διατριβὴν ἐποιησάμην ἐπισκοπούμενος, εἰ μόνον λέγεται πρόσφατος νεκρός, καὶ μὴ πρόσφατον πρᾶγμα. εὑρίσκετο δὲ Σοφοκλῆς ἐν τῇ Ἀνδρομέδᾳ τιθεὶς οὕτω.

Μηδὲν φοβεῖσθαι προσφάτους ἐπιστολάς.

Πτῶμα ἐπὶ νεκροῦ τιθέασιν οἱ νῦν· οἱ δ' ἀρχαῖοι οὐχ οὕτως, ἀλλὰ πτώματα νεκρῶν ἢ οἴκων.

Περίστασις ἀντὶ τοῦ συμφορὰ τιθέασιν οἱ στωικοὶ φιλόσοφοι· οἱ δ' ἀρχαῖοι περίστασιν λέγουσι τὴν διά τινα τάραχον παρουσίαν πλήθους, καὶ ἡ τραγῳδία καὶ ἡ κωμῳδία. μάθοις δ' ἂν Τηλεκλείδου λέγοντος ὧδε·

Τίς ἥδε κραυγὴ καὶ δόμων περίστασις.

Παρεμβολή· δεινῶς Μακεδονικόν, καίτοι ἐνῆν τῷ στρατοπέδῳ χρῆσθαι, πλείστῳ καὶ δοκίμῳ ὄντι.

Σαπρὰν οἱ πολλοὶ ἀντὶ τοῦ αἰσχράν. Θέων φησὶν ὁ Γραμματικὸς εὑρηκέναι παρὰ Φερεκράτει λη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρῶν· ἅπαντα γὰρ ἃ φέρει μαρτύρια, ἐπὶ τοῦ παλαιοῦ καὶ σεσηπότος εὕρηται κείμενα.

Σώματα ἐπὶ τῶν ὠνίων ἀνδραπόδων, οἷον σώματα πωλεῖται, οὐ χρῶνται οἱ ἀρχαῖοι.

Τὰ πρόσωπα παρῆν ἀμφότερα· οἱ ἀμφὶ τὰς δίκας ῥήτορες οὕτω λέγουσι παραπαίοντες· ἀλλὰ σὺ καθαρὸς καὶ ἀρχαῖος ὢν ῥήτωρ καὶ μόνος μετά γ' ἐκείνους, τοὺς ἀμφὶ τὸν Δημοσθένην λέγω, ἐπανάγων εἰς τὸ ἀρχαῖον σχῆμα καὶ δόκιμον τὴν ῥητορικήν, οὐ μόνον αὐτὸς δυσχεραίνων οὐδεπώποτε ἐχρήσω τῷ ὀνόματι, ἀλλὰ καὶ τοὺς ἄλλους ἐκώλυσας χρήσασθαι. ἐξελληνίζων καὶ ἀττικίζων τὸ βασιλικὸν δικαστήριον καὶ διδάσκαλος καθιστάμενος οὐ μόνον αὐτῶν τῶν λόγων, οἷον χρὴ λέγειν, σχήματος καὶ βλέμματος καὶ φωνῆς καὶ στάσεως. Τοιγαροῦν σε τῶν μεγίστων ἀξιώσαντες οἱ Ῥωμαίων βασιλεῖς, ἀνέθεσαν τὰ Ἑλλήνων ἅπαντα πράγματα διοικεῖν παριδρυσάμενοι φύλακα ἑαυτοῖς, λόγῳ μὲν ἐπιστολέα ἀποφήναντες, ἔργῳ δὲ συνεργὸν ἑλόμενοι τῆς βασιλείας· ἀλλὰ ταῦτα μὲν καὶ αὖθις. τὰ δὲ πρόσωπα, ὡς πρόκειται, οὐκ ἐροῦμεν, ἀλλὰ καθάπερ οἱ παλαιοί, οἷον καλὸν ἔχει πρόσωπον.

Στρηνιᾶν· τούτῳ ἐχρήσαντο οἱ τῆς νέας κωμῳδίας ποιηταί· ᾧ (οὐκ) ἂν μανεὶς τις χρήσαιτο, παρὸν λέγειν τρυφᾶν.

Σύαγρος οὐ ῥητέον· σῦν ἄγριον οἱ ἀρχαῖοι λέγουσι.

Συγγνωμονῆσαι οὐ χρὴ λέγειν, ἀλλὰ συγγνῶναι.

Σιτομετρεῖσθαι μὴ λέγε· λύων δ' ἐρεῖς σῖτον μετρεῖσθαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Στηθύνιον ὀρνιθίου λέγουσί τινες οὐχ' ὑγιῶς· εἰ γὰρ χρὴ ὑποκοριστικῶς λέγειν στηθίδιον· εἰδ' οὐκ ἔστιν ὑποκοριστικὸν, πόθεν εἰσεκώμασε καὶ τοῦτο τὸ κακὸν τῇ τῶν Ἑλλήνων φωνῇ;

Ὑπέρδριμυς· ἐπεὶ ὑπέρσοφος, καὶ ὑπέρδριμυς ἀξιοῦσί τινες λέγειν· λεγόντων δ', εἰ καὶ οἱ ἀρχαῖοι καὶ οἱ δόκιμοι λέγουσιν· εἰδὲ μή, ἐώντων χαίρειν τὸ ὑπέρδριμυς.

Φυγαδεῦσαι καὶ φυγαδευθῆναι· ἐπισκέψεως πολλῆς δεῖται, εἰ ἐγκριτέον τοὔνομα τοῖς δοκίμοις. εἰ τοίνυν εὕροις, βεβαιώσεις τὸ ἀμφισβητούμενον.

Φρονιμεύεσθαι μὴ λέγε, φρονεῖν δὲ τὰ ὄντα.

Χρησιμεῦσαι μὴ λέγε, ἀλλὰ χρήσιμον γενέσθαι.

Χήμη· πόθεν ἀνεμίχθη τῇ τῶν Ἑλλήνων φωνῇ, ἄδηλον. οἱ γὰρ ἀρχαῖοι κογχύλην λέγουσι τοῦτο.

Ἐπιχειμάζεις σαυτόν, Μένανδρος εἴρηκεν ἐπὶ τοῦ λυπεῖν, καὶ Ἀλεξανδρεῖς ὁμοίως. πειστέον δὲ τοῖς δοκίμοις, τοῖς μηδ' εἰδόσι τοὔνομα.

Ἐσχάτως ἔχει ἐπὶ τοῦ μοχθηρῶς ἔχει καὶ σφαλερῶς τάττουσιν οἱ σύρφακες. ἡ δὲ τοῦ ἐσχάτως χρῆσις, οἶσθα, ἐπὶ τοῦ ἄκρου παρὰ τοῖς ἀρχαίοις νομίζεται, ἐσχάτως πονηρός, ἐσχάτως φιλόσοφος. Διαγραπτέον οὖν καὶ τοῦτο.

Χρεωλυτῆσαι λέγει ὁ πολὺ λεώς· ἀλλ' οἱ ὀλίγοι καὶ Ἀττικοὶ τὰ χρέα διαλύσασθαι.

Χρέως· Ἀττικὸς ἂν φαίνοιο καὶ ἐπιμελής, εἰ διὰ τοῦ ω χρέως λέγεις. Σὺ μὲν οὖν τῇ σεαυτοῦ πολυμαθείᾳ τὸν Ἀριστοφάνην διὰ τοῦ ο ἐδείκνυας τὸ χρέος ἐν ταῖς Νεφέλαις εἰπόντα· Ἀτὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τί χρέος ἔβα με μετὰ τὸν Πασίαν; ἔοικε δὲ παρῳδηκῶς εἰρηκέναι, διόπερ οὐ χρηστέον αὐτῷ.

Φιλόλογος ὁ φιλῶν λόγους καὶ σπουδάζων περὶ παιδείαν. οἱ δὲ νῦν ἐπὶ τοῦ ἐμπείρου τιθέασιν οὐκ ὀρθῶς. τὸ μέντοι ἐφιλολόγησα καὶ φιλολογῶ καὶ πάντα τὰ ῥήματα τὰ μετοχικὰ ἀδόκιμα.

Τίνι διαφέρει τόδε καὶ τόδε; οὐ χρὴ οὕτω λέγειν κατὰ δοτικὴν πτῶσιν, ἀλλὰ τί διαφέρει, καθὰ καὶ Δημοσθένης φησί· τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει; λέγε οὖν τί διαφέρει.

Τέτευχε τιμῆς, τέτευχε τοῦ σκοποῦ μὴ λέγε, ἀλλ' ἀντ' αὐτοῦ τῷ δοκίμῳ χρῶ, τετύχηκε.

Στρόβιλον· οἱ μὲν πολλοὶ τὸ ἐδώδιμον λέγουσι καὶ αὐτὸ τὸ δένδρον. οἱ δ' ἀρχαῖοι τὴν βίαιον τοῦ ἀνέμου εἴλησιν καὶ συστροφὴν στρόβιλον καλοῦσι καὶ συστροβιλῆσαι τὸ στρέψαι. οὕτως οὖν καὶ ἡμῖν ῥητέον. τὸ δὲ ἐδώδιμον πιτύων καρπόν, καὶ τὸ δένδρον πίτυν. καὶ γὰρ ἔστι πίτυς τὸ ἐκκεκοκκισμένον. ἔτι καὶ νῦν κόκκωνα λέγουσιν οἱ πολλοὶ ὀρθῶς. καὶ γὰρ Σόλων ἐν τοῖς ποιήμασιν οὕτω χρῆται·

Κόκκωνας ἄλλος, ἄτερος δὲ σήσαμα.

Συγκαταβαίνειν εἰς τὰς σκέψεις, συγκαταβαίνειν εἰς διδασκαλίας μὴ εἴπῃς ἀλλὰ συγκαθιέναι καὶ συγκαθῆκεν εἰς τὸ παίζειν ἢ εἰς ἄλλο τι.

Σκνιφός· κατὰ διαφθορὰν οἱ πολλοὶ λέγουσι τὸν γλίσχρον καὶ μικροπρεπῆ περὶ τὰ ἀναλώματα. οἱ δ' ἀρχαῖοι σκνῖπα καλοῦσιν ἀπὸ τοῦ θηριδίου τοῦ ἐν τοῖς ξύλοις κατὰ βραχὺ κατεσθίοντος.

Σταμνία οἱ μὲν ἀμαθεῖς ἐπὶ τῶν ἀμίδων τάττουσιν. οἱ δ' ἀρχαῖοι ἐπὶ τῶν οἰνηρῶν ἀγγείων.

Συσχολαστάς ἐσχάτως ἀνάττικον. χρὴ δὲ συμφοιτητὰς λέγειν.

Στρωματεὺς ἀδόκιμον. στρωματόδεσμος ἀρχαῖον καὶ δόκιμον. λέγε οὖν καὶ ἀρσενικῶς καὶ οὐδετέρως.

Εὐχρηστεῖν ἀπόρριψον. λέγε δὲ κιχράναι.

Ρᾳότερον μὴ λέγε, ἀλλὰ ρᾷον. συγριτικὸν γὰρ συγκριτικοῦ οὐκ ἔστιν· οἷον εἴτις λέγοι κρεισσότερον.

Ρύμη· καὶ τοῦτο οἱ μὲν 'Αθηναῖοι ἐπὶ τοῦ ὁρμῆς ἐτίθεσαν· οἱ δὲ νῦν ἀμαθεῖς ἐπὶ τοῦ στενωποῦ. Δοκεῖ δέ μοι καὶ τοῦτο μακεδονικὸν εἶναι. ἀλλὰ στενωπὸν καλεῖν χρή· ρύμην δὲ τὴν ὁρμήν.

Δρωπακίζειν ἀδόκιμον. ἀρχαῖον δὲ τὸ παραττίλλεσθαι ἢ πιττοῦσθαι.

Στέμφυλα· οἱ μὲν πολλοὶ τὰ τῶν βοτρύων ἐκπιέσματα ἀμαθῶς· οἱ δ' 'Αττικοὶ στέμφυλα ἐλαῶν.

Πενταετηρικὸς ἀγὼν καὶ πενταετηρὶς μὴ λέγε, ἀλλ' ἀφαιρῶν τὸ α πεντετηρὶς καὶ πεντετηρικὸς ἀγών.

Πεντάμηνον, πεντάπηχυ· μετάθες τὸ α εἰς τὸ ε πεντέμηνον λέγων καὶ πεντέπηχυ.

'Εξάπηχυ καὶ ἑξαέτης· καὶ ἐντεῦθεν ἀφαιρήσεις τὸ α, ἕξπηχυ καὶ ἑξέτης καὶ ἔκπλεθρον. τοῦτο γὰρ καὶ ἰατροὶ ἐπανορθοῦνται, ἔκπλεθρον λέγοντες καὶ οὐκ ἑξάπλεθρον.

Περιεσπάσθην λέγουσί τινες ἐπὶ τοῦ ἐν ἀσχολίᾳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τιθέντες πάνυ κιβδήλως· τὸ γὰρ περισπᾶν καὶ περισπᾶσθαι ἐπὶ τοῦ παραιρεῖν καὶ παραιρεῖσθαι τάττουσιν οἱ ἀρχαῖοι. δέον οὖν ἄσχολος ἦν λέγειν.

Πορνοκόπος· οὕτω Μένανδρος· οἱ δ' ἀρχαῖοι πορνότριψ λέγουσιν.

Λήθαργος· οὕτω Μένανδρος· οἱ δ' ἀρχαῖοι 'Αθηναῖοι ἐπιλήσμονα καλοῦσιν οἷς καὶ πειστέον.

Μεσοπορεῖν. καὶ τοῦτο Μένανδρος, οὐδὲν ἐπιβάλλων γνώμης τοῖς ὀνόμασιν, ἀλλὰ πάντα φύρων.

Γῦρος· καὶ τοῦτο Μένανδρος τὴν καλλίστην τῶν κωμῳδιῶν τῶν ἑαυτοῦ, τὸν Μισογύνην, κατεκηλίδωσεν, εἰπὼν *** Τί γὰρ δὴ γῦρός ἐστιν, οὐ συνίημι.

Σύσσημον· οὐχ ὁρῶ, μὰ τὸν Ἡρακλέα, τί πάσχουσιν οἱ τὸν Μένανδρον μέγαν ἄγοντες καὶ αἴροντες ὑπὲρ τὸ Ἑλληνικὸν ἅπαν. Διὰ τί δὲ θαυμάσας ἔχω; ὅτι τὰ ἄκρα τῶν Ἑλλήνων ὁρῶ μανικῶς περὶ τὸν κωμῳδοποιὸν τοῦτον σπουδάζοντα. πρώτιστον μὲν ἐν παιδείᾳ μέγιστον ἀξίωμα ἁπάντων ἔχοντα σὲ καὶ διὰ τοῦτο ἐκ προκρίτων ἀποφανθέντα ὑπὸ τῶν βασιλέων ἐπιστολέα αὐτῶν. ἔπειτα, δευτέρᾳ τιμῇ, λειπόμενον πολὺ τῆς σῆς παρασκευῆς, ἐξεταζόμενον δ' ἐν τοῖς Ἕλλησι, Βάλβον τὸν ἀπὸ Τράλλεων, ὃς εἰς τοῦτο προθυμίας καὶ θαύματος ἥκει Μενάνδρου, ὥστε καὶ Δημοσθένους ἀμείνω ἐγχειρεῖν ἀποφαίνειν, τὸν λέγοντα μεσοπορεῖν καὶ γῦρος καὶ λήθαργος καὶ σύσσημον καὶ πορνοκόπος καὶ ὀψωνιασμὸς καὶ ὀψώνιον καὶ δύσριγος καὶ ἄλλα κίβδηλα ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναρίθμητα ἀμαθῆ. τὰ αὐτὰ δὲ σοὶ καὶ Βάλβῳ πεπονθότα καὶ Γιαγιανὸν τὸν Σμυρναῖον ῥήτορα, ἄνδρα ζηλωτὴν καὶ ἐραστὴν τῆς σῆς ἐν παιδείᾳ φιλοκαλίας. Ἄγε οὖν ὅπως λύσῃς μου τὴν ἐν τῇ τοιᾷδε δυσχερείᾳ τῶν ὤτων ἀπορίαν. οὐ γὰρ περιόψεσθαί σε ἡγοῦμαι ἐρήμως ὄφλοντά σου τὰ παιδικὰ Μένανδρον.

Οἰκοδομὴ οὐ λέγεται. ἀντ' αὐτοῦ δὲ οἰκοδόμημα.

Κατ' ὄναρ Πολέμων ὁ ἰωνικὸς σοφιστὴς Δημοσθένους τοῦ ῥήτορος εἰκόνα χαλκῆν ἐν Ἀσκληπιοῦ τοῦ ἐν Περγάμῳ τῇ Μυσίᾳ ἀναθεὶς, ἐπέγραψεν ἐπίγραμμα τοιόνδε· Δημοσθένη Παιανιέα Πολέμων κατ' ὄναρ, ἀδοκιμωτάτῳ τῷ κατ' ὄναρ χρησάμενος. ὥσπερ γὰρ καθ' ὕπαρ οὐ λέγεται, ἀλλ' ὕπαρ, οὕτως οὐδὲ κατ' ὄναρ, ἀλλ' ἤτοι ὄναρ ἰδών, ἢ ἐξ ὀνείρου ὄψεως. οὕτως ἄρα μέγιστόν ἐστιν ὀνομάτων γνῶσις· ὅπου γε δὴ καὶ τὰ ἄκρα τῶν Ἑλλήνων πταίοντα ὁρᾶται.

Μετριάζειν· τοῦτο οἱ μὲν ἀρχαῖοι ἐπὶ τοῦ τὰ συμβαίνοντα μετρίως φέρειν τιθέασι. Μένανδρος δ' ἐπὶ τοῦ ἀσθενεῖν, παρὰ τὴν τῶν δοκίμων χρῆσιν.

Καθώς· Γάϊός τις Ἀρεθούσιος γραμματικὸς ἔφασκε δόκιμον εἶναι τοὔνομα· κεχρῆσθαι γὰρ αὐτῷ Φύλαρχον. ὢ τοῦ μάρτυρος, ὡς ἔοικε τοῦ ἐπαγομένου· ὃς οὐδὲ Θουκυδίδου ἤκουσε λέγοντος, καθὸ δεῖ εἰς Σικελίαν πλεῖν, ἀλλ' οὐ καθώς. καὶ τὸ καθὰ δόκιμον.

Κάκκαβον· διὰ τοῦ η κακκάβην λέγε. τὸ γὰρ διὰ τοῦ ο ἀμαθές. Καὶ γὰρ Ἀριστοφάνης ἐν Δαιδάλῳ χρῆται διὰ τοῦ η.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κυνηγός· τοῦτο τοὔνομα οὕτω πως μεταχειρί ται· οἱ μὲν τραγικοὶ ποιηταὶ τρισυλλάβως λέγ καὶ δωρίζουσι, τὸ η εἰς α μετατιθέντες κυνα οἱ δ' Ἀθηναῖοι τετρασυλλάβως τε προφέρουσι τὸ η φυλάττουσιν, οἷον κυνηγέτης.

Καταφαγάς· πόθεν Μένανδρος συσσύρας τὸν σούτων ὀνομάτων συρφετὸν αἰσχύνεις τὴν τριον φωνήν; τίς γὰρ δὴ τῶν πρὸ σοῦ τῷ κα φαγὰς κέχρηται; ὁ μὲν Ἀριστοφάνης οὕτω σίν. Ἔστι γὰρ κατωφαγάς τις ἄλλος ἢ Κλει μος; Ἐχρῆν οὖν Κρατίνῳ πειθόμενον φαγὰς πεῖν. ἴσως δ' ἂν εἴπῃς, ὅτι ἠκολούθησα Μυ λῳ λέγοντι·

Ὡς ὁ μὲν κλέπτης, ὁ δ' ἅρπαξ,
ὁ δ' ἀνάπηρος πορνοβοσκός
καταφαγάς.

ἀλλ' οὐκ ἐχρῆν τὰς ἅπαξ εἰρημένας λέξεις πάζειν.

Κολόκυνθα· ἡμάρτηται ἡ ἐσχάτη συλλαβὴ διὰ θα λεγομένη, δέον διὰ τοῦ τη. ὡς Ἀθηναῖο

Καταφερής· ἐπὶ τῶν πρὸς ἀφροδίσια ἀκολάσ λέγουσιν οἱ πολλοί, οὐδαμῶς οὕτω τῶν δοκί χρωμένων.

Καταλογὴν οἱ σύρφακες λέγουσι τὴν πρός τινα δῶ, οὐκ ὀρθῶς.

Κολλυβιστὴς ἐπὶ τοῦ ἀργυραμοιβοῦ πάλιν ἡ μολύνων οὐδέν τι ἀναπαύεται ὁ Μένανδρος· μὲν γὰρ κόλλυβος δόκιμον, τὸ δὲ κολλυβισ ἀδόκιμον.

Τὰ ἴδια πραττω καὶ τὰ ἴδια πράττει οἱ πολλοὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γουσιν εἰκῆ, δέον, τὰ ἐμαυτοῦ πράττω, καὶ τὰ σαυτοῦ πράττεις, λέγειν, ὡς οἱ παλαιοί, ἢ τὰ ἴδια ἐμαυτοῦ πράττω καὶ τὰ ἴδια σαυτοῦ πράττεις.

Ἀκρατεύεσθαι· ἀδοκίμῳ ὄντι οἵ γε πολλοὶ χρῶνται τούτῳ τῷ ὀνόματι, καὶ Μένανδρος. Λέγε οὖν οὐκ ἐγκρατεύεσθαι.

Αἰχμαλωτισθῆναι· τοῦθ' οὕτως ἀδόκιμον, ὡς οὐδὲ Μένανδρον αὐτῷ χρήσασθαι· διαλύων οὖν λέγε αἰχμάλωτον γενέσθαι.

## ΑΡΧΗ ΤΟΥ Γ.

Ἀνατοιχεῖν μὴ λέγε, ἀλλὰ διατοιχεῖν.

Ἔνυστρον μὴ λέγε, ἀλλὰ ἤνυστρον, ὅτι καὶ ἀρχαῖον.

Καταπροΐξεται οὐκ ὀρθῶς διαιροῦσι, δέον καταπροίξεται λέγειν ἀδιαιρέτως

* * * ἐνιτεῦσαι· ἰδεῖν δεῖ, εἰ Φαβωρῖνος χρώμενος οὐκ ὀρθῶς χρῆται.

Ἀντικρύ· τοῦτο τοπικὸν καὶ ἐπιεικῶς ποιητικὸν ἄνευ τοῦ σ λεγόμενον· ὅθεν οἱ ἐπὶ τοῦ ἀντικρύς τιθέντες ἁμαρτάνουσιν. Εἰ μέντοι τις προθείη τὴν πρόθεσιν τοῦ ἀντικρὺ καὶ εἴποι καταντικρύ, ὀρθῶς ἐρεῖ.

Ἀνυπόδετος ἐρεῖς ἐν τῷ η. τὸ γὰρ ἐν τῷ ε ἁμάρτημα. καὶ γὰρ ὑποδήσασθαι λέγεται καὶ οὐχ ὑποδέσασθαι.

Εὕρημα χρὴ λέγειν διὰ τοῦ η, οὐχ εὕρεμα.

Ἀπηρτισμένον, ἀπήρτικα καὶ τὰ ἀπὸ τούτων ἅπαντα σόλοικα. ἀποτετέλεσται δὲ καὶ ἀποτετελεσμένον χρὴ λέγειν. ἄμεινον γάρ. ἐκτὸς εἰ μὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποθεν τοῦτο εἰς Φαβωρῖνον ἦλθεν, ὅθεν οὐδεὶς οἶδεν. Ἀρχαῖοι μὲν γὰρ οὕτως οὐ λέγουσιν, ἐκεῖνος δέ. πλὴν εἴη εἷς. ἡμεῖς οὖν ὡς οἱ ἀρχαῖοι, ἀλλὰ μὴ ὡς Φαβωρῖνος.

ΤΕΛΟΣ ΤΗΣ ΦΡΥΝΙΧΟΥ ΕΚΛΟΓΗΣ.

---

## ΕΚ ΤΩΝ

# ΗΡΩΔΙΑΝΟΥ.

Συγγενίδα οὐ ῥητέον· οὔτε μὴν εὐγενίδα. ἀλλὰ συγγενῆ καὶ εὐγενῆ τὸ θηλυκόν· διὰ τὸ κοινὸν εἶναι τὸ ὄνομα· ὥσπερ γὰρ ὁ εὐτυχής, ἡ εὐτυχής, καὶ τὸ εὐτυχές, οὕτω καὶ ταῦτα. καὶ ὥσπερ οὐκ εὐτυχίδα λέγομεν, οὕτως οὐδὲ συγγενίδα, ἀλλὰ συγγενῆ· ὥς που καὶ Μένανδρος, Κρωβύλῃ τῇ μητρὶ πείθου καὶ γάμει τὴν συγγενῆ. ὅσα τῶν ὀνομάτων παρὰ οὐδέτερον ὄνομα σύγκειται, τὴν αὐτὴν ἕξει κλῖσιν, ἣν καὶ τὰ οὐδέτερα. ἐπεὶ οὖν τὸ συγγενὴς ἐκ τοῦ γένους ἐστὶν ὀνόματος οὐδετέρου, τὴν αὐτὴν ἕξει κλῖσιν τῷ οὐδετέρῳ.

Ἁμαρτάνουσιν οἱ τὰ ἡμίση λέγοντες καὶ οὐ τὰ ἡμίσεα. τὰ γὰρ τριγενῆ τῶν ὀνομάτων, ἐπὶ τῶν ὀνομάτων διαιρεῖται. οἱ γλυκεῖς, αἱ γλυκεῖαι, τὰ γλυκέα. οἱ ὀξεῖς, αἱ ὀξεῖαι, τὰ ὀξέα. οὕτως

ἄρα καὶ οἱ ἡμίσεις, αἱ ἡμίσειαι, καὶ τὰ ἡμίσεα. καὶ τὸ ἑνικὸν οὖν μόνως τοῦ ἡμίσεος, ὡς καὶ τὸ ὀξέος, καὶ γλυκέος, ἀλλ' οὐ τοῦ ἡμίσους.

Τὸ Λήδα Λήδας, καὶ Κισσαίθα Κισσαίθας, καὶ Φιλομήλα Φιλομήλας, ἀντίκειται τῷ κανόνι τῷ λέγοντι ὅσα καθαρὸν ἔχει τὸ α, ἢ μετὰ τοῦ ρ τηρεῖ αὐτὸ καὶ ἐπὶ τῆς γενικῆς. ταῦτα γὰρ οὔτε καθαριεύει οὔτε διὰ τοῦ ρ, ἐκφέρονται. λέγομεν οὖν διὰ τὸ ἐκτείνεσθαι τὴν τελευταίαν συλλαβήν. ταῦτα γὰρ πάντα φυλάσσει τὸ α.

Νοὸς καὶ ροὸς οὐ ρητέον. ὅσα γὰρ ἐν τῇ εὐθείᾳ διαιροῦνται, ἐν ταῖς ἄλλαις πτώσεσιν οὐ διαιροῦνται. καὶ ἀνάπαλιν ὅσα οὐ διαιροῦνται ἐν ταῖς εὐθείαις, διαιροῦνται ἐν ταῖς ἄλλαις πτώσεσι. βοῦς βοός, καὶ ποῦς ποδός.

Ἀνθέων γράφε, ἀλλὰ μὴ ἀνθῶν, ἵνα μὴ συνεμπέσῃ τῷ ἀνθ' ὧν ἔγραψας, καὶ ἀνθ' ὧν ἔδωκας.

Ὀλυμπιονίκης Ὀλυμπιονίκου. ἀπὸ γὰρ τοῦ νίκη. Πολυνείκης δὲ Πολυνείκους, ἀπὸ τοῦ νεῖκος γίνεται.

Ὑπερείδης Ὑπερείδου, ὡς Πηλείδης Πηλείδου, διὰ τὸν τύπον ἔχειν πατρωνυμικοῦ.

Φακὴ καὶ φακὸς ἐπὶ τοῦ ὤμου, φακῆ δὲ φακῆς ἐπὶ τοῦ ἑφθοῦ.

Φιλοπότης ὁ τοὺς πότους καὶ τὰ συμπόσια φιλῶν. φιλοπώτης ὁ πολλὰ πίνειν φιλῶν.

Τὸ ἱέρεια, ὡς ἀπὸ τοῦ ἱερεὺς ἱέρεια· ὥσπερ ἀπὸ τοῦ Ὀδυσσεὺς Ὀδύσσεια, παρώνυμον. τινὲς δὲ ρηματικὸν ἀξιοῦσιν εἶναι παροξύνοντες τὸ ἱερεία.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡς τὸ ἀριστεία, ἰατρεία. πρὸς οὓς ῥητέον. ὡς τὸ ἔργον σημαίνει ἡ ἰατρεία, καὶ ἡ ἀριστεία· οὐκέτι δὲ καὶ ἡ ἱέρεια. ἱερωσύνη γὰρ τὸ ἔργον.

Ηὐξάμην καὶ εὐξάμην, ηὐδόκουν καὶ εὐδόκουν, καὶ ὅσα ἀπὸ τοῦ εὖ ἄρχονται.

Τὸ ἔζων γράφεται καὶ ἔζη παρὰ Δημοσθένει πολλαχοῦ. ἐπεὶ καὶ τὸ δεύτερον καὶ τὸ τρίτον ἐφύλαξε τὸ η.

Νέμω νεμήσω, καὶ θέλω θελήσω. οἱ παρατατικοὶ δὲ ἔνεμον, καὶ ἤθελον.

Ἄκαιρον τὸ μᾶλλον πλουσιώτερον, καὶ μάλιστα πλουσιώτατος.

Τὸ οὐδεπώποτε ἐπὶ μέλλοντος, οὐδέποτε ποιήσω. τὸ οὐδέποτε δέ, μετὰ παρεληλυθότος· οὐδεπώποτε εἶδον, ἢ ἐποίησα.

Χωρὶς εἰ μὴ δοίη, ἀδόκιμον. τὸ γὰρ μὴ καὶ τὸ χωρὶς ἀμφότερα ἀρνητικά, ὄντα, ὁμοῦ πίπτειν οὐ δύναται, ἀλλὰ τὸ ἕτερον, ἢ τὸ μή, ἢ τὸ χωρίς.

Φασιανοὶ ἵπποι. Φασιανικοὶ δὲ ὄρνεις.

Κλεῖν ὁ Δημοσθένης, ἀλλ' οὐχὶ κλεῖδα· τὴν κλεῖν κατεαγώς.

Στλεγγὶς ἡ ξύστρα, καὶ ἀποστελεγγίσασθαι τὸ ἄνευ ἀλείμματος λούσασθαι. ἔστι δὲ καὶ τὸ ξύστρα ὄνομα παρὰ Ἀρχίππῳ τῷ κωμικῷ.

Ὀργάσαι ἐπὶ πηλοῦ, μάξαι ἐπὶ μάζης.

Προτένθης ὁ λίχνος παρ' Ἀττικοῖς ἀπὸ τῆς πρὸ προθέσεως καὶ τοῦ τένδω τὸ ἐσθίω.

Ὦπας τοὺς ὀφθαλμοὺς οὐ λέγομεν, ὑπώπια δέ. ὁμοίως καὶ τὸ λωποδύτης δόκιμον, ἐπὶ τοῦ τινὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ ἱμάτια περιδύοντος, τὸ δὲ λῶπος οὐ λέγομεν.

Ἀπὸ τότε καὶ ἔκτοτε μὴ λέγε, ἀλλ' ἐξ ἐκείνου. καὶ καθόλου δὲ τοῖς χρονικοῖς ἐπιρρήμασιν οὐ συντάττουσι τὰς προθέσεις.

Μαχοῦμαι καὶ ὀμοῦμαι ἐνεστῶτες· λαμβάνονται δὲ ἐπὶ τοῦ μέλλοντος.

Ἀναξυρίδες ἐπὶ τῶν στρατιωτῶν, ἀνασυρίδες τινὲς οὖσαι παρὰ τὸ ἀνασύρασθαι.

Προσγελῶ αὐτόν, ὡς οἱ Ἀττικοί, καὶ βασκαίνω αὐτῷ, οὐχὶ αὐτόν. σημαίνει δὲ τὸ διαβάλλειν καὶ ἐξαπατᾷν, οὐ τὸ φθονεῖν.

Ὄφλημα καὶ ὀφείλημα διαφέρει. ὄφλημα γὰρ τὸ ἐκ καταδίκης λέγεται· ὀφείλημα δέ, ὃ ἐδανείσατό τις.

Ἐπιλήσμων ὁ ἐπιλανθανόμενος. λήθαργος δὲ κύων ὁ κρύφα δάκνων.

Κατορθῶσαι ἐπὶ πολέμου καὶ τῶν τοιούτων. τὸ δὲ κατόρθωμα οὐκέτι. ἐπανορθῶσαι δὲ λόγῳ τῶν ἡμαρτημένων. ἄττα δὲ τὸ κατορθῶσαι ἐπὶ λόγων κεῖται. διορθῶσαι ἐπὶ τῶν διαστρόφων, ἂν αὐτὸ ἀπευθύνῃ.

Τῇ ἐπιούσῃ ἐρεῖς, μὴ προστιθεὶς τὴν ἡμέραν, τῆς δὲ ἐπιούσης ἡμέρας.

Πάρεδροι, οἱ νῦν συγκάθεδροι.

Μέσον ἡμέρας, καὶ μεσημβρία, οὐχ ἡ μέση ἡμέρα.

Διήγησιν λέγουσιν, οὐχὶ διήγημα.

Εὐθενεῖσθαι λέγοντες, εὐθένειαν οὐ λέγουσιν, ἀλλ' εὐετηρίαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὑποτίθησι μὲν δανειζόμενος τὰ ἐνέχυρα· ὑποτίθεται δ' ὁ λαμβάνων.

Σοφώτατος τῆς ἡλικίας, ἀντὶ τοῦ τῶν ἡλικιωτῶν.

Εὐστομεῖν ἀντὶ τοῦ εὐφημεῖν, καὶ Ἡρόδοτος εὔστομα κείσθω.

Ὀλίγης ἐστὶ διδασκαλίας ἀντὶ τοῦ ὀλίγων δεῖται πρὸς μάθησιν.

Ἀφηλικέστερος ὁ τὴν ἡλικίαν προβεβηκώς.

Μῆλα μηδικὰ τὰ νῦν κίτρα.

Τὸν λάρυγγα ἀρσενικῶς, τὴν φάρυγγα θηλυκῶς.

Ἐνεύναιον, ἱμάτιον καὶ ἐπιβόλαιον τὸ ἐν τῇ εὐνῇ.

Πολίτης, δημότης, φυλέτης, ἄνευ τῆς σύν, συνέφηβος δὲ καὶ συνθιασώτης καὶ συμπότης μετὰ τῆς σύν· ὅτι καὶ πρόσκαιρος αὐτῶν ἡ κοινωνία. ἐπὶ δὲ τῶν προτέρων οὐχ ὁμοίως.

Γέλως πλατύς, οὐχὶ πολὺς ἐρεῖς.

Δίκη ἡ ἰδία, κυρίως δ' ἐπὶ τῶν σωματικῶν καὶ πραγματικῶν. γραφὴ ἡ δημοσία, καὶ ἐπὶ ἐγκλημάτων ψυχικῶν.

Τὸ δυσωπεῖσθαι ἐπὶ τοῦ ὑφορᾶσθαι, οὐκ ἐπὶ τοῦ αἰσχύνεσθαι.

Ἀσύμβολος παιδείας, ὁ ἀπαίδευτος. οὐκ ἀσύμβολος δὲ ὁ πεπαιδευμένος.

Λευκὴν ἡμέραν διαγαγεῖν τὴν ἡδεῖαν καὶ ἱλαράν.

Τὸν ἕτερον τοῖν ποδοῖν οὐ λέγουσιν, ἀλλὰ τὸν ἕτερον πόδα.

Αὐτοχειρίᾳ πράττειν ἐπὶ παντὸς αὐτουργοῦντος.

Βασανιστὴς μὲν ὁ ἐπὶ τῆς βασάνου· δημόκοινος δὲ ὁ στρεβλῶν καὶ βασανίζων· δήμιος δὲ ὁ ἀπάγων τὴν ἐπὶ θανάτῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Τεχνήσασθαι τὸ μετὰ τέχνης τι κατασκευάσαι. τεχνάσασθαι δὲ τὸ κακουργῆσαι.*

---

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ